Suidas' *Lexicon*: χθονία 'earthy, infernal': . . . and in Alcman, when he says of Strife

infernal monster,

some commentators take it in the sense of 'abhorrent,' others in the sense of 'great' because he is addressing her.

[1] cf. *E.M.* 506. 17, Suid. κερκολύρα [2] cf. Eust. *Il.* 355. 45
[3] cf. μάκαρς (29): P. was father of Tyndareüs [4] cf. *fr.* 133

Δ'

'ΕΡΩΤΙΚΩΝ

130

Ath. 13. 600 f [*π. ἔρωτος*]· *'Αρχύτας δ' ὁ ἁρμονικός, ὡς φησὶ Χαμαιλέων, 'Αλκμᾶνα γεγονέναι τῶν ἐρωτικῶν μελῶν ἡγεμόνα καὶ ἐκδοῦναι πρῶτον μέλος ἀκόλαστον ὂν τὰ*[1] *περὶ τὰς γυναῖκας καὶ τὴν τοιαύτην μοῦσαν εἰς τὰς διατριβάς· διὸ καὶ λέγειν ἔν τινι τῶν μελῶν·*

"Ερως με δαῦτε Κύπριδος Fέκατι[2]
γλυκὺς κατείβων καρδίαν ἰαίνει.

λέγει δὲ καὶ ὡς τῆς Μεγαλοστράτης οὐ μετρίως ἐρασθείη,[3] *ποιητρίας μὲν οὔσης δυναμένης δὲ καὶ διὰ τὴν ὁμιλίαν τοὺς ἐραστὰς προσελκύσασθαι· λέγει δὲ οὕτως περὶ αὐτῆς·*

τῷ Fαδεᾶν Μωσᾶν[4] *ἔδειξε*
δῶρον μάκαιρα παρθένων[5]
ἀ ξανθὰ Μεγαλοστράτα.

131

Heph. 82 [*π. κρητικοῦ*]· *καὶ εἴη ἂν ἑξάμετρον καταληκτικὸν τὸ καλούμενον τοῦ 'Αλκμᾶνος ἐκ μόνων ἀμφιμάκρων·*

'Αφροδίτα μὲν οὐκ ἔστι, μάργος δ' "Ερως οἷα
<παῖς>[6] *παίσδει*
ἄκρ' ἐπ' ἄρθρ' ἦκα βαίνων[7] *τὸ 'μή μοι θίγῃς*
τῷ κυπαιρίσκῳ.'

[1] mss *ὕντα καὶ* [2] *B*: mss δ' *αὖτε* and *ἕκατι* [3] *μετρίως* Schw: *ἐρασθείη* Cob: mss *συμμέτρως ἐρασθεὶς* [4] *τῷ Fαδεᾶν E*, context requires 'me': *Μωσᾶν* Steph: mss *τοῦ θ' ἁδεῖαν μοῦσαν* [5] mss also *μακαίρᾳ παρθένῳ* [6] Bent: [7] *E*: mss *ἄνθης καββαίνων, ἄνθηκα βαίνων*: Pauw *ἄνθῃ καβαίνων*, *E* once *ἄνθρυσκα βαίνων*, but a *child* cannot walk on, or down on to, the tips of flowers

Book IV

LOVE-SONGS

130

Athenaeus *Doctors at Dinner* [on love]: Archytas the writer on musical theory maintains according to Chamaeleon that the originator of love-songs was Alcman, and that he was the first to give out to the schools[1] song that was licentious in matters concerning women, and other poetry of that kind, and that hence he says in one of his songs:

Lo, at the Cyprian's hest, sweet Love distils upon me and melts my heart.

And he says too that he fell wildly in love with Megalostrata, who was both a poetess and had the power of attracting lovers by her conversation. He speaks of her thus:

. . . to whom hath been shown the gift of the sweet Muses at the hands of one that is right happy among maidens, to wit the flaxen-haired Megalostrata.

131

Hephaestion *Handbook of Metre* [the cretic]: And it will be a catalectic hexameter—namely that called Alcman's—composed entirely of cretics, as:

It is not Aphroditè; but wild Love, like a child, plays me touch-me-not-with-your-little-reed, treading softly on tiptoe.[2]

[1] *i.e.* set choruses to learn in the song-schools: cf. Theophr. *Char.* 30. 18 ἱμάτιον ἐκδοῦναι πλῦναι, 'send his cloak to be cleaned' [2] ref. to some game like our 'touch' or 'tig'; he means he is not really in love, it is 'only a flutter'

132

Apoll. *Pron.* 83. 3 ἡ σέ ὁμοίως πρὸς πάντων κοινή· Δωριεῖς διὰ τοῦ τ . . .·

πρὸς δὲ τὲ τῶν φίλων

Ἀλκμάν.

133

E.M. 622. 44 ὀλοοίτροχος· . . . ἐκ δὲ τοῦ ὀλοός γίνεται ἡ κλητικὴ ὀλοέ, καὶ κατὰ συγκοπὴν ὀλέ, ἐὰν δὲ ὀλός ᾖ ἡ εὐθεῖα, γένοιτ' ἂν ἡ κλητικὴ ὀλέ καὶ οὐκ ἔστι συγκοπή· οἷον·

ἔχει μ' ἄχος, ὦ 'λὲ δαῖμον·[1]

τοῦτο περὶ Παθῶν Ἡρωδιανός.

134

Prisc. 2. 17. 11 Keil: Hiatus quoque causa solebant illi interponere *F*, quod ostendunt et poetae Aeolide usi, Alcman:

καὶ χεῖμα πῦρ τε δάϜιον

135

Cram. *A.O.* 1. 287. 4 καὶ εἶκα, ὃ σημαίνει τὸ ὁμοιῶ·

εἴκας μὲν ὡραίῳ λίνῳ·[2]

παρὰ Ἀλκμᾶνι.

136

Ath. 3. 81 f [π. μήλων]· Ἀλκμὰν δὲ τὸ στρουθίον μῆλον, ὅταν λέγῃ·

μῆον ἢ κοδύμαλον·

Ἀπολλόδωρος δὲ καὶ Σωσίθιος τὸ Κυδώνιον μῆλον ἀτοίσιν.

[1] ὦ 'λὲ: mss ὦ ὀλὲ here, elsewh. ὦλε 1404, Hdn., οἶκας, elsewhere εἶκας [2] mss here, Pek.

132

Apollonius *Pronouns*: The pronoun *σέ*, 'thee,' occurs in all dialects—in the Dorian in the form *τέ*; compare Alcman:

By our friends I adjure thee

133

Etymologicum Magnum: The vocative of *ὀλοός*, 'destructive,' is *ὀλοέ* or by syncope *ὀλέ*, or if *ὀλός* be taken for the nominative then there is no syncope, as:

I am in pain, thou destroying spirit.[1]

This comes from Herodian *On Inflexions*.

134

Priscian *Principles of Grammar*: To avoid hiatus, too, they inserted digamma, as the poets who use Aeolic show, for instance Alcman:

And storm and destroying fire [2]

135

Cramer *Inedita* (*Oxford*): And *ἐικα*, which means 'to be like,' as

Thou 'rt like to ripe flax;

in Alcman.[3]

136

Athenaeus *Doctors at Dinner* [on apples]: Alcman means the *struthian* apple when he says:

As small as a codymalon,[4]

though Apollodorus and Sosibius take it as a quince.

[1] cf. Cram. *A.O.* 2. 461. 32 (*Ἀλκμανικόν*), 1. 442, Sch. *Il.* 10. 134 [2] cf. Ibid. 21 [3] cf. Ibid. 4. 368. 19, 415. 22, Bek. *An.* 3. 1294. 5, 1404, Choer. *Epim.* Gais. 2. 587, 871, Hdn. *μον. λέξ.* 24. 9 [4] perh. = medlar

Ε′

ΣΥΜΠΟΤΙΚΩΝ

137

Ath. 10. 416 d [*π. πολυφαγίας τῆς Ἀλκμᾶνος*]· *κἀν τῷ ε′ δὲ ἐμφανίζει αὐτοῦ τὸ ἀδηφάγον λέγων οὕτως·*

ὥρας δ' ἔσηκε τρεῖς, θέρος
καὶ χεῖμα χὠπάραν[1] *τρίταν,*
καὶ τέτρατον τὸ Fῆρ, ὅκα[2]
σάλλει μὲν ἐσθίειν δ' ἄδαν[3]
οὐκ ἔστι . . .

138

Ibid. 3. 110 f *μακωνίδων δ' ἄρτων μνημονεύει Ἀλκμὰν ἐν τῷ πέμπτῳ*[4] *οὕτως·*

κλῖναι μὲν ἕπτα καὶ τόσαι τράπεσδαι
μακωνίδων ἄρτων ἐπιστεφεῖσαι
λίνῳ[5] *τε σασάμῳ τε, κὴν πελίχναις*
πέδεστι χρυσόκολλα·[6]

ἔστι βρωμάτιον διὰ μέλιτος καὶ λίνου.

[1] cf. Boisacq *s.v.* *ὀπώρα*: mss *χεῖμαχω παραν, χειμὰν ὀπώραν* [2] Schw.-*B*: mss *τὸ ηρυκας, τὸ κρόκας* [3] Pors: mss *ἀλλ' εἰ μὲν ἔσθει ἐν δάδαν* [4] Schw: mss *ε′, ιεω, ἶεω, πεντεκαιδεκάτῳ* [5] Kaib: mss *ἐπιστεφοῖσαι λ., ·φοι σε λ., ·φεῖς σελίνῳ*: gen.

Book V

DRINKING-SONGS

137

Athenaeus *Doctors at Dinner* [on the voracity of Alcman]: And in his fifth Book he shows his gluttony thus:

And seasons made he three, summer and winter and the third the autumn, and a fourth also, to wit the spring, when things do flourish and grow but one cannot eat his fill.

138

The Same: Poppy-cakes are mentioned by Alcman in his fifth Book thus:

Seven couches and as many tables crowned with poppy-cakes and linseed and sesame,[1] and set among the flagons cups of damaskt gold;

it is a sweetmeat made with honey and linseed.[2]

[1] *i.e.* cakes flavoured with them, or 'poppy-cakes both of linseed and of sesame'; this is a drinking-bout not a feast
[2] *i.e.* these and poppy

Schn: mss dat: πελίχναις: cf. Ath. 11. 495 c
B: mss πέδεσσι, πέδαισι: χρυσ.: sc. ἐκπώματα
[6] πέδεστι

139

Ath. 1. 31 c [π. οἰνῶν]· Ἀλκμὰν δέ που ἄπυρον οἶνον καὶ ἄνθεος ὔσδοντά φησι τὸν ἐκ Πέντε λόφων, ὅς ἐστι τόπος Σπάρτης ἀπέχων στάδια ἑπτά, καὶ τὸν ἐκ Δενθιάδων, ἐρύματός τινος, καὶ τὸν ἐκ Καρύστου, ὅς ἐστι πλησίον Ἀρκαδίας,[1] καὶ τὸν ἐξ Οἰνοῦντος καὶ τὸν ἐξ Ὀνόγλων καὶ Σταθμῶν· χωρία δὲ ταῦτα πάντα πλησίον Πιτάνης· φησὶν οὖν οἶνον δ' Οἰνουντιάδαν ἢ Δένθιν ἢ Καρύστιον ἢ Ὄνογλιν[2] ἢ Σταθμίταν· ἄπυρον δὲ εἶπε τὸν οὐχ ἡψημένον.

e. g. ἄπυρον τε Foῖνον κἄνθεος
ὄσδοντα, τὸν μὲν Πέντε λόφων,
τὸν δὲ τὸν Foινουντιάδαν
ἢ Δένθιν ἢ Καρύστιον ἢ
Ὄνογλιν ἢ Σταθμίταν.

140

Hesych. κλεψίαμβοι· Ἀριστόξενος· μέλη τινὰ παρ' Ἀλκμᾶνι.

141

Ath. 14. 648 b πόλτου δὲ μνημονεύει Ἀλκμὰν οὕτως·

ἤδη παρέξει πυάνιόν τε πόλτον
χίδρον τε λευκὸν κηρίναν θ' ὀπάραν·[3]

ἔστι δὲ τὸ πυάνιον, ὥς φησι Σωσίβιος, πανσπερμία ἐν γλυκεῖ ἡψημένη, χίδρον δὲ οἱ ἐφθοὶ πυροί, κηρίναν δὲ ὀπώραν λέγει τὸ μέλι.

[1] καὶ τὸν ἐκ Καρ. — Ἀρκαδίας transp. Pors. from after Σταθμίταν [2] cf. Hesych. ὔνιγλιν· εἶδος οἴνου and Δένθις· οἶνος· Λακῶνες [3] cf. 137 : mss τ' ὀπώραν

[1] cf. Strab. 10. 446, Eust. *Il.* 281. 10, 1449. 12, 1633. 51, Steph. Byz. Κάρυστος [2] these iambic fragments may be of

139

Athenaeus *Doctors at Dinner* [on wines]: Alcman says, I think: 'That wine unfired and of finest scent which comes from the Five Hills,' which is about a mile from Sparta, and that of Denthiades, a frontier-post, and that of Carystus, which is nearly in Arcadia, and that of Oenus, Onogli, and Stathmus, which are all in the neighbourhood of Pitanè—in his own words:

That wine unfired and of the finest scent, either that which comes from the Five Hills, or that which is the wine of Oenus, or else the Denthian or the Carystian, or the wine of Onogli or of Stathmi . . .

where by 'unfired' he means 'not boiled.'[1]

140

Hesychius *Glossary*: κλεψίαμβοι, 'hidden iambics': according to Aristoxenus these are certain lyric poems in the works of Alcman.[2]

141

Athenaeus *Doctors at Dinner*: Porridge is mentioned by Alcman, thus:

Forthwith shall you have raisin-wine porridge, white frumenty, and the waxen fruits of the bee;

and this kind of porridge, according to Sosibius, is all-seeds boiled in wine of raisins, frumenty is boiled wheat-corns, and the waxen fruits are honey.[3]

this sort; they were recited to music, cf. Ath. 14, 636 b, where for κλεψιάμβους we should read κλεψιαμβύκας, the instrument used [2] cf. Eust. *Od.* 1563. 1, 1735. 50

142

Cram. *A.O.* 1. 60. 24 *ἐὰν δ' ὦσιν ἐκ τοῦ ε οὐκέτι (γίνεται τροπὴ τοῦ η εἰς α μακρόν)· ἔλατος ἱππήλατος· Ἀλκμάν·*

λεπτὰ δ' ἄταρπος νηλεὴς δ' ἀνάγκα·[1]

ἐκ γὰρ τοῦ ἐλεεινή.

143

Ath. 14. 636 f [*π. μαγάδιδος*]· *καὶ Ἀλκμὰν δέ φησι·*

μάγαδιν δ' ἀποθέσθαι

144

E.M. 171. 7 *αὔσιον· καὶ ὁ μὲν Ἴβυκος αὔσιον λέγει . . . ὁ δὲ Ἀλκμάν·*

ταυσία πάλλα κέω.[2]

Ϛ′

145

Apoll. *Pron.* 107. 11 *Αἰολεῖς μετὰ τοῦ F κατὰ πᾶσαν πτῶσιν καὶ γένος . . . καὶ Ἀλκμὰν δὲ συνεχῶς Αἰολίζων φησί·*

τὰ Fὰ κάδεα[3]

[1] *νηλεὴς B*: mss ἀνηλὴς παλλακίω, πολλακίω [2] *E* (perh. *ταϋσία*): mss [3] *Fὰ B*: mss *εα*

142

Cramer *Inedita* (*Oxford*): But if they begin with ε the change from η to long α does not take place, for instance ἔλατος ἱππήλατος; compare Alcman:

Thin is the thread and pitiless the necessity;[1]

for νηλεής, 'pitiless,' is derived from ἐλεεινή, 'pitiable.'

143

Athenaeus *Doctors at Dinner* [on the musical instrument called *magadis*]: And Alcman, too, says:

to lay aside the lute

144

Etymologicum Magnum: αὔσιον, 'idle, useless': Ibycus uses this form . . . but Alcman ταύσιος; compare:

I will lie an idle ball.[2]

Book VI[3]

145

Apollonius *Pronouns*: The Aeolians use the digamma-forms in every case and gender . . . and Alcman is regularly Aeolic in:

his own troubles

[1] thread *B*; 'one of the Fates was Ἀταρπώ Sch. *Od.* 7, 197'
[2] *i. e.* thrown down and not played with
[3] the contents of this Book being unknown, I have put into it all the remaining fragments of a personal type

146

Sch. Aristid. *ὑπὲρ τῶν Τεττάρων* 3. 490 *ὁ Κρὴς δὴ τὸν πόντον· παροιμία ἐπὶ τῶν εἰδότων μὲν προσποιουμένων δ' ἀγνοεῖν· ἀντὶ τοῦ νησιώτης ἀγνοεῖ τὴν θάλατταν . . . λέγεται δὲ ἡ παροιμία καὶ οὕτως· ὁ Σικελὸς τὴν θαλάτταν . . . Ἀλκμὰν δ' ὁ λυρικὸς μέμνηται τῆς παροιμίας.*

147

E.M. 22. 23 *ἄζω . . . ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ περὶ Παθῶν λέγει ὅτι παράγωγόν ἐστιν ἀπὸ τοῦ ἄγος ἀγίζω καὶ κατὰ συγκοπὴν ἄζω . . . πόθεν δὲ δῆλον; ἐκ τοῦ τὸν Ἀλκμᾶνα εἰπεῖν*

ἀγίσδεο

ἀντὶ τοῦ ἄζεο.

148

Hesych.

βλήρ·

δέλεαρ· τὸ δὲ αὐτὸ καὶ αἶθμα·[1] *παρὰ Ἀλκμᾶνι*[2] *ἡ λέξις.*

149

E.M. 228. 25 *γεργύρα· ὁ ὑπόνομος, κυρίως δι' οὗ τὰ ὕδατα φέρεται τὰ ὄμβρια . . . ζήτει εἰς τὰ γόργυρα· ὁ δὲ Ἀλκμὰν διὰ τοῦ ε*

γεργύρα[3]

φησί.

150

Bek. *An.* 2. 949 *τὸ*

δοάν

παρ' Ἀλκμᾶνι Δωρικῶς ὀξύνεται, γεγονὸς οὕτω· δήν, δάν, δοάν.

[1] Schmidt, cf. Hesych. *αἶθμα· δέλεαρ*: mss *ἄσθμα* [2] Mein: mss *Ἀλκμαίωνι* [3] mss *γέργυρα*

146

Scholiast on Aristides *On behalf of the Four Great Athenians*: The Cretan and the sea: Proverbial of those who know but pretend they do not; it means 'the islander does not know the sea' . . The proverb also has this form: 'The Sicilian and the sea' . . It is mentioned by the lyric poet Alcman.[1]

147

Etymologicum Magnum: ἄζω . . . Herodian in his treatise *On Inflexions* declares that it is derived from ἄγος, 'guilt or expiation,'—ἀγίζω by syncope ἄζω . . . and why he says so, is clear from Alcman's use of ἀγίσδεο for ἄζεο

stand thou in awe

148

Hesychius *Glossary*: βλήρ·

bait;

and another word for it is *alθμα*; the word occurs in Alcman.

149

Etymologicum Magnum: γεργύρα:

underground;

properly that which carries off rainwater; see the note on γόργυρα; but Alcman uses the ε-form, γεργύρα.[2]

150

Bekker *Incdita*: The word δοάν,

for a long while,

in Alcman has an acute accent on the last syllable, arriving at this form thus: δήν, δάν, δοάν.[3]

[1] cf. Strab. 10. 481, *Paroem.* 1. 131 (where, however, *Alcaeus* is quoted as mentioning the proverb) [2] cf. Bek. *An.* 1. 233. 27 [3] cf. Jo. Alex. 42, Rab. *An.* 2. 570

151

E.M. Vet. 136 τὸ δὲ

ζάτραφα

παρὰ Ἀλκμᾶνι κανονιστέον κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ζάτροφον.

152

E.M. 420. 28 ἥδυμος . . . τὸ δὲ ὑπερθετικὸν

ἀδυμέστατον [1]

Ἀλκμὰν ἔφη.

153

Eust. *Od.* 1892. 44 ἔτι ἱστέον καὶ ὅτι τὸ εἰρημένον ἦν ἐπὶ τρίτου ἑνικοῦ προσώπου ὁ Ἀλκμὰν

ἦς

λέγει μετειλημμένου τοῦ ν εἰς σ Δωρικῶς.

154

Cram. *A.O.* 1. 190. 20

ἠτί

δὲ λέγει Ἀλκμὰν ἀντὶ τοῦ ἠσίν.

155

Eust Il. 756. 30 . . . ἀντιθέσει τοῦ ν εἰς λ, ᾧ ἀντιστοιχοῦσι Δωριεῖς ἐν τῷ φίλτατος φίντατος . . . κέλετο

κέντο

παρὰ Ἀλκμᾶνι.

[1] mss ἡδυμέστατον

151

Old Etymologicum Magnum: The form ζάτραφα[1]

well-fed

in Alcman is to be classed as a metaplasm of ζάτροφον.

152

Etymologicum Magnum: ἥδυμος, 'pleasant'; . . . Alcman uses the superlative ἀδυμέστατον,

pleasantest

153

Eustathius on the *Odyssey*: It should be understood, too, that the third person singular ἦν takes the form ἦς,

he was,

in Alcman, by the Doric change of ν to σ.[2]

154

Cramer *Inedita* (*Oxford*): Alcman uses the form ἠτί,

saith,

instead of ἠσί.

155

Eustathius on the *Iliad*: . . . by the change of ν to λ, a substitution which the Dorians make in saying φίντατος for φίλτατος 'dearest'; . . . κέντο for κέλετο,

he prayed,

in Alcman.

[1] apparently acc. sing. [2] cf. Fav. 234

156

Ath. 3. 81 d

Κυδωνίων μήλων

μνημονεύει Στησίχορος . . . καὶ Ἀλκμάν.

157

Sch. *Od.* 23. 76 [μάστακα]· *ὁ δὲ Ἀλκμὰν καὶ τὰς γνάθους*

μάστακας

φησὶ παρὰ τὸ μασᾶσθαι.

158

Sch. *Il.* 17. 40 *τὰ γὰρ εἴς τις λήγοντα θηλυκὰ δισύλλαβα, μὴ ὄντα ἐπιθετικά, παραληγόμενα δὲ τῷ ο ἤτοι μόνῳ ἢ σὺν ἑτέρῳ φωνήεντι, ὀξύνεσθαι θέλει, κοιτίς, . . .*

οὐτίς

τὸ ζῷον παρ' Ἀλκμᾶνι.

159

E.M. Vet. πείρατα· *πέρατα, καὶ παρ' Ἀλκμᾶνι*

πέρασα·

<περὶ> Παθῶν.[1]

160

Sch. *Il.* 12. 137 [αὔας]· *ἴσως δὲ βεβαρυτόνηται, ἐπεὶ καὶ τὸ ναῦος ἐβαρύνετο . . . καὶ τὸ*

φαῦος[2]

παρ' Ἀλκμᾶνι.

[1] Reitz. cf. 128, 133: perh. A. said *πέρρατα* [2] *E*: mss *ψαῦος*

156

Athenaeus *Doctors at Dinner*:

Cydonian apples

or quinces are mentioned by Stesichorus . . . and Alcman.

157

Scholiast on the *Odyssey*: Alcman calls the

jaws

μάστακες, from μασάομαι 'to chew.'

158

Scholiast on the *Iliad*: Feminine dissyllables ending in -τις, which are not epithets and of which the penultimate syllable contains ο either simple or in a diphthong, have the acute accent on the last syllable, for instance κοιτίς, . . . and

outis,

the animal, in Alcman.[1]

159

Old Etymologicum Magnum: πείρατα:

ends,

and in Alcman in the form πέρατα. (*On Inflexions*).

160

Scholiast on the *Iliad*: αὖας: perhaps it has been circumflexed on the first like ναῦος for ναός 'temple,' . . . and φαῦος for φάος,

light,

in Alcman.

[1] cf. Arc. 35. 3

161

Sch. Luc. *Anach.* 32

γέρρον

. . . Ἀλκμὰν δὲ ἐπὶ τῶν οἰστῶν τέθεικε τὴν λέξιν.

162

E.M. Vet. βάλε· . . . ὁ δὲ Ἀλκμὰν τὸ ἀβάλε, οἷον·

ἀβάλε καὶ νοέοντα [1]

γίνεται.

163

Hdn. μον. λέξ. 9. 31 (2. 915 Lentz) εὐρυπῶν· Ἀλκμάν·

οἷσι δ' εὐρυπῶν [2]

164

Sch. Theocr. 5. 92 [ἀνεμώνα]· . . . Σωσίβιος δὲ τὰς ἀνεμώνας παρὰ Λάκωσι

φαινίδας

καλεῖσθαί φησιν.

165

Reitz. *Ind. Lect.* Rostock cod. Coislin. 394

ὁλκάς·

πλοῖον, <ναῦς φορτηγός,> [3] καὶ παρὰ Ἀλκμᾶνι ἀηδών [4] καὶ Σειρήν.[5]

[1] ms νέοντα [2] *B*: mss εὐρυοπῶν ἀλκμοῖς ἥδε ῥυπῶν [3] Hesych. [4] so Hesych: mss here ἀειδῶν [5] Voss: mss εἰρήνη

161

Scholiast on Lucian: γέρρον . . . Alcman uses the word of

arrows

162

Old Etymologicum Magnum: βάλε 'would that': . . . Alcman uses the form ἀβάλε, 'O would that,' for instance

O would that both discreet . . .

163

Herodian *Words without Parallel* εὐρυπῶν 'splay-footed': compare Alcman

But they to whom splay-footed . . .

164

Scholiast on Theocritus [windflower]: . . . according to Sosibius the anemone or windflower is called by the Spartans

shine-bright.

165

From a manuscript quoted by Reitzenstein: ὁλκάς: A ship; a merchant-ship; and in Alcman

alluring

of the nightingale and the Siren.[1]

[1] the word means 'that which draws' cf. Hesych. s.v.

ΑΡΙΟΝΟΣ

Βίος

Hdt. 1. 23 ἐτυράννευε δὲ ὁ Περίανδρος Κορίνθου. τῷ δὴ λέγουσι Κορίνθιοι—ὁμολογέουσι δέ σφι Λέσβιοι—ἐν τῷ βίῳ θῶμα μέγιστον παραστῆναι, Ἀρίονα τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον καὶ διθύραμβον πρῶτον ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ διδάξαντα ἐν Κορίνθῳ. τοῦτον τὸν Ἀρίονα λέγουσι τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην· ἐργασάμενον δὲ χρήματα μεγάλα θελῆσαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι· ὁρμᾶσθαι μέν νυν ἐκ Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων· τοὺς δὲ ἐν τῷ πελάγει ἐπιβουλεύειν τὸν Ἀρίονα ἐκβαλόντας ἔχειν τὰ χρήματα . . . τὸν δὲ ἐνδύντα τε πᾶσαν τὴν σκευὴν καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν τοῖσι ἑδωλίοισι διεξελθεῖν νόμον τὸν ὄρθιον· τελευτῶντος δὲ τοῦ νόμου ῥῖψαί μιν ἐς τὴν θάλασσαν ἑωυτὸν ὡς εἶχε σὺν τῇ σκευῇ πάσῃ· καὶ τοὺς μὲν ἀποπλέειν ἐς Κόρινθον· τὸν δὲ δελφῖνα λέγουσι ὑπολαβόντα ἐξενεῖκαι ἐπὶ Ταίναρον . . . καὶ Ἀρίονός ἐστι ἀνάθημα χάλκεον οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπεὼν ἄνθρωπος.

ARION

Life

Herodotus *Histories*: Periander was despot of Corinth. During his lifetime, according to the Corinthians — and indeed the Lesbians — a very marvellous thing took place, namely the rescue of Arion of Methymna from the sea at Taenarum by a dolphin. This Arion was the finest singer to the lyre then known, and is the first recorded composer of dithyrambs, which he named and trained Corinthian choirs to perform. It seems that he spent most of his life at the court of Periander; but one day conceiving a desire to visit Italy and Sicily, he did so, and some time afterwards, having made large sums of money there, determined to return to Corinth. Accordingly he set sail from Tarentum, chartering a vessel manned by Corinthians, a people whom he thought, of all men, he could trust. But when they reached the open sea the crew conspired to secure his money by throwing him overboard. . . . Putting on all his harper's dress and grasping his lyre, he took his stand in the stern-sheets, and went through the Orthian or High-pitched Nome from beginning to end. Then he threw himself just as he was, dress and all, into the sea. The crew continued their voyage to Corinth; but meanwhile a dolphin, it seems, took Arion upon his back and carried him ashore at Taenarum. . . . There is a small bronze votive-offering of Arion on the promontory of Taenarum, consisting of a man upon a dolphin's back.

Procl. *Chrest.* ap. Phot. *Bibl.* p. 320 Bek. *εὑρεθῆναι δὲ τὸν διθύραμβον Πίνδαρος ἐν Κορίνθῳ λέγει· τὸν δὲ ἀρξάμενον τῆς ᾠδῆς Ἀριστοκλῆς*[1] *Ἀρίονά φησιν εἶναι, ὃς πρῶτος τὸν κύκλιον ἤγαγε χορόν.*

Euseb. *Ol.* 40. 4 *Ἀρίων ἐγνωρίζετο Μηθυμναῖος· οὗτος ἐπὶ δελφῖνος εἰς Ταίναρον διεσώθη.*

Sch. Ar. *Av.* 1403 [*κυκλιοδιδάσκαλον*]· *Ἀντίπατρος καὶ Εὐφρόνιος . . . φασὶ τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον Λασόν . . . οἱ δὲ ἀρχαιότεροι, Ἑλλάνικος καὶ Δικαίαρχος, Ἀρίονα τὸν Μηθυμναῖον, Δικαίαρχος μὲν ἐν τῷ Περὶ Μουσικῶν Ἀγώνων, Ἑλλάνικος δὲ ἐν τοῖς Καρνεονίκαις.*[2]

Suid. *Ἀρίων· Μηθυμναῖος, λυρικός, Κυκλέως υἱός, γέγονε κατὰ τὴν λη' Ὀλυμπιάδα. τινὲς δὲ καὶ μαθητὴν Ἀλκμᾶνος ἱστόρησαν αὐτόν. ἔγραψε δὲ ᾄσματα, προοίμια εἰς ἔπη β'. λέγεται καὶ τραγικοῦ τρόπου εὑρετὴς γενέσθαι, καὶ πρῶτος χορὸν στῆσαι, καὶ διθύραμβον ᾆσαι καὶ ὀνομάσαι τὸ ᾀδόμενον ὑπὸ τοῦ χοροῦ, καὶ Σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας.*

Vide Luc. *D.M.* 8, Strab. 13. 618, Paus. 3. 25. 7; Ael. *N.A.* 12. 45 quotes the hymn of thanks to

[1] mss *Ἀριστοτέλης* [2] mss *Κραναϊκοῖς*

Proclus *Chrestomathy*: According to Pindar the dithyramb was invented at Corinth, and we are told by Aristocles that the originator of this song was Arion, the first trainer of the cyclic or circular chorus.

Eusebius *Chronicle*: Fourth year of the 40th Olympiad (B.C. 617): Flourished Arion of Methymna, who was rescued by a dolphin off Taenarum.

Scholiast on Aristophanes [cyclic-chorus-trainer]: Antipater and Euphronius . . . declare that the cyclic or circular choruses were first assembled by Lasus. . . . The earlier authorities, however, namely Hellanicus and Dicaearchus, ascribe their origin to Arion of Methymna, the former in his *List of Carnean Victors* and the latter in his *Treatise on the Musical Contests.*

Suidas *Lexicon*: Arion: Of Methymna, lyric poet, son of Cycleus, flourished in the 38th Olympiad (B.C. 628–625). According to some authorities he was a pupil of Alcman. He composed songs, namely two Books of Preludes to Epic poems. He is also said to have been the inventor of the tragic style, and to have been the first to assemble a chorus, to sing a dithyramb, to give that name to the song of the chorus, and to introduce Satyrs speaking in metre.

Poseidon ascribed to Arion; this hymn being of much later date will be found in vol. iii; for other refs. see Pauly-Wiss. *Real-Encycl.*

ΣΑΠΦΟΥΣ

Βίος

Stob. *Fl.* 29. 58 Αἰλιανοῦ· Σόλων ὁ Ἀθηναῖος Ἐξηκεστίδου παρὰ πότον τοῦ ἀδελφιδοῦ αὐτοῦ μέλος τι Σαπφοῦς ᾄσαντος, ἥσθη τῷ μέλει καὶ προσέταξε τῷ μειρακίῳ διδάξαι αὐτόν. ἐρωτήσαντος δέ τινος διὰ ποίαν αἰτίαν τοῦτο ἐσπούδακεν, ὅδε ἔφη· '"Ινα μαθὼν αὐτὸ ἀποθάνω.'

Hdt. 2. 135 Ῥοδῶπις δὲ ἐς Αἴγυπτον ἀπίκετο Ξάνθεω τοῦ Σαμίου κομίσαντος· ἀπικομένη δὲ κατ' ἐργασίην ἐλύθη χρημάτων μεγάλων ὑπὸ ἀνδρὸς Μυτιληναίου Χαράξου τοῦ Σκαμανδρωνύμου παιδὸς ἀδελφεοῦ δὲ Σαπφοῦς τῆς μουσοποιοῦ. . . . φιλέουσι δέ κως ἐν τῇ Ναυκράτι ἐπαφρόδιτοι γίγνεσθαι αἱ ἑταῖραι· τοῦτο μὲν γὰρ αὕτη τῆς πέρι λέγεται ὅδε ὁ λόγος οὕτω δή τι κλεινὴ ἐγένετο ὡς καὶ πάντες οἱ Ἕλληνες Ῥοδώπιος τὸ οὔνομα ἐξέμαθον . . . Χάραξος δὲ ὡς λυσάμενος Ῥοδῶπιν ἀπενόστησε ἐς Μυτιλήνην, ἐν μέλεϊ Σαπφὼ κατεκερτόμησέ μιν.

Ibid. 134 κατὰ Ἄμασιν βασιλεύοντα ἦν ἀκμάζουσα Ῥοδῶπις.

Str. 17. 808 [π. πυραμίδων]· λέγεται δὲ τῆς ἑταίρας τάφος γεγονὼς ὑπὸ τῶν ἐραστῶν, ἣν Σαπφὼ μὲν ἡ τῶν μελῶν ποιήτρια καλεῖ Δωρίχαν, ἐρωμένην τοῦ ἀδελφοῦ αὐτῆς Χαράξου γεγονυῖαν,

SAPPHO

Life

Stobaeus *Anthology*: Aelian:—One evening over the wine, Execestides the nephew of Solon the Athenian sang a song of Sappho's which his uncle liked so much that he bade the boy teach it him, and when one of the company asked in surprise 'What for?' he replied 'I want to learn it and die.'

Herodotus, *Histories*: Rhodopis was brought to ply her trade in Egypt by Xanthes of Samos, from whom she was bought at a great price and given her freedom by a Mytilenaean named Charaxus, the son of Scamandronymus and brother of the poetess Sappho. . . . It seems that the courtesans of Naucratis are particularly attractive. At any rate the one of whom we are speaking became so famous as to be a household word throughout the Greek world. . . . When Charaxus returned to Mytilene after setting Rhodopis free, Sappho soundly rated him in a poem.

The Same: Rhodopis flourished in the reign of King Amasis.

Strabo *Geography* [the Pyramids]: There is a story that this one was built by her lovers as the tomb of the courtesan who is sometimes called Rhodopis but is known as Doricha to the lyric poetess Sappho, whose brother Charaxus made her

οἶνον κατάγοντος εἰς Ναύκρατιν Λέσβιον κατ' ἐμπορίαν, ἄλλοι δ' ὀνομάζουσι Ῥοδῶπιν.

Ath. 10. 424 e *ὠνοχόουν τε παρὰ τοῖς ἀρχαίοις οἱ εὐγενέστατοι παῖδες . . . Σαπφώ τε ἡ καλὴ πολλαχοῦ Λάριχον τὸν ἀδελφὸν ἐπαινεῖ ὡς οἰνοχοοῦντα ἐν τῷ πρυτανείῳ τοῖς Μυτιληναίοις.*

Str. 13. 617 [*π. Μυτιλήνης*]· *συνήκμασε δὲ τούτοις (Πιττακῷ καὶ Ἀλκαίῳ) καὶ ἡ Σαπφώ, θαυμαστόν τι χρῆμα· οὐ γὰρ ἴσμεν ἐν τῷ τοσούτῳ χρόνῳ τῷ μνημονευομένῳ φανεῖσάν τινα γυναῖκα ἐνάμιλλον οὐδὲ κατὰ μικρὸν ἐκείνῃ ποιήσεως χάριν.*

Ibid. 618 [*π. Ἐρέσου*]· *ἐξ Ἐρέσου δ' ἦσαν Θεόφραστός τε καὶ Φανίας οἱ ἐκ τῶν περιπάτων φιλόσοφοι.*

Sch. Plat. *Phaedr.* 235 c *Σαπφὼ λυρικὴ ποιήτρια, Σκαμανδρωνύμου, Μυτιληναία.*

Marm. Par. 36 *ἀφ' οὗ Σαπφὼ ἐκ Μυτιλήνης εἰς Σικελίαν ἔπλευσε φυγοῦσα [τὸ δεύτερ]ον*[1] *[ἔτη* HHHΔΔΔIIII, *ἄρχο]ντος Ἀθήνησιν μὲν Κριτίου τοῦ προτέρου, ἐν Συρακούσσαις δὲ τῶν γαμόρων κατεχόντων τὴν ἀρχήν.*

Euseb. Ol. 45. 2[2] Sappho et Alcaeus poetae clari habentur.

[1] *E*, cf. Sch. Berl.-Aberd. Alcaeus *C.R.* 1917. 33 [2] some mss 45. 1

[1] cf. Suid. Αἴσωπος, Phot. *Lex.* Ῥοδώπιδος ἀνάθημα, Ov.

his mistress on one of his visits to Naucratis with a cargo of Lesbian wine.[1]

Athenaeus *Doctors at Dinner*: It was the custom among the ancients for the boys of noblest birth to pour out the wine. . . . The beautiful Sappho often sings the praises of her brother Larichus as serving the wine in the town-hall of Mytilene.[2]

Strabo *Geography* [on Mytilene]: Contemporary with Pittacus and Alcaeus was Sappho—a marvel. In all the centuries since history began we know of no woman who could be said with any approach to truth to have rivalled her as a poet.

The Same [on Eresus]: This was the birthplace of Theophrastus and Phanias, the Peripatetic philosophers.[3]

Scholiast on Plato *Phaedrus*: Sappho: A lyric poetess, daughter of Scamandronymus; a native of Mytilene.[4]

Parian Chronicle: From the time when Sappho went from Mytilene to Sicily when banished [the second time, 334 years,] in the archonship of the earlier Critias at Athens and the rule of the Gamori or Landowners at Syracuse (B.C. 598).[5]

Eusebius *Chronicle*: Olympiad 45. 2 (B.C. 598): Flourished the poets Sappho and Alcaeus.

Ep. 15. 63, *Paroem.* App. 4. 51 [2] cf. Sch. *Il.* 20. 234 [3] he would have mentioned S. had he believed her to have been born there [4] cf. Mosch. 3. 92 [5] the date occurs in a gap, but is prob. right; in any case it must lie betw. 605 and 591

Hermes. ap. Ath. 598 b . . .

Λέσβιος Ἀλκαῖος δὲ πόσους ἀνεδέξατο κώμους
Σαπφοῦς φορμίζων ἱμερόεντα πόθον
γινώσκεις. ὁ δ' ἀοιδὸς ἀηδόνος ἡράσαθ' ὕμνων
Τήϊον ἀλγύνων ἄνδρα πολυφραδίῃ . . .

Ath. 599 c ἐν τούτοις ὁ Ἑρμησιάναξ σφάλλεται συγχρονεῖν οἰόμενος Σαπφὼ καὶ Ἀνακρέοντα, τὸν μὲν κατὰ Κῦρον καὶ Πολυκράτην γενόμενον, τὴν δὲ κατ' Ἀλυάττην τὸν Κροίσου πατέρα.

Ov. *Ep.* 15. 61 [Sappho Phaoni]
Sex mihi natales ierant, cum lecta parentis
ante diem lacrimas ossa bibere meas.

Sch. Pind: εἰς τοὺς Ἐννέα Λυρικούς·
Ἐννέα τῶν πρώτων λυρικῶν πάτρην γενεήν τε
μάνθανε, καὶ πατέρας καὶ διάλεκτον ἄθρει.
ὧν Μυτιληναῖος μὲν ἔην γεραρώτερος ἄλλων
Ἀλκαῖος πρότερος ἠχικὸς Αἰολίδης.
ἡ δ' ἐπὶ τῷ ξυνὴν πάτρην φωνήν τε δαεῖσα
Σαπφὼ Κληῖδος καὶ πατρὸς Εὐρυγύου . . .

Suid. Σαπφὼ (α')· Σίμωνος· οἱ δὲ Εὐνομίνου·[1] οἱ δὲ Εὐρυγύου·[2] οἱ δὲ Ἐκρύτου· οἱ δὲ Σήμου· οἱ δὲ Σκάμωνος·[3] οἱ δὲ Εὐάρχου·[4] οἱ δὲ Σκαμανδρωνύμου· μητρὸς δὲ Κλειδός· Λεσβία ἐξ Ἐρέσου,[5] λυρική· γεγουνῖα κατὰ τὴν μβ' Ὀλυμπίαδα, ὅτε καὶ Ἀλκαῖος ἦν καὶ Στησίχορος καὶ Πιττακός. ἦσαν δὲ αὐτῇ ἀδελφοὶ τρεῖς Λάριχος,

[1] mss also Εὐμήνου [2] mss Ἠριγύου but Eud. Εὐριγύου [3] mss Κάμωνος [4] mss Ἐτάρχου [5] mss and Str. 13. 618 Ἐρέσσου but coins have σ

Hermesianax quoted by Athenaeus *Doctors at Dinner*: . . . And Lesbian Alcaeus, thou knowest in how many a serenade he thrummed out his delightful love of Sappho; the poet loved that nightingale of hymns and vexed the man of Teos with his eloquence.[1]

Athenaeus [on the Same]: In these lines Hermesianax is wrong in making Sappho contemporary with Anacreon. She belongs to the time of Alyattes father of Croesus, whereas he is coeval with Cyrus and Polycrates.

Ovid *Letters of the Heroines* [Sappho to Phaon]: I was but six years old when the bones of a parent received the too-early drink-offering of my tears.

Preserved by the Scholiast on Pindar: On the Nine Lyric Poets: Now shall you learn the birthplace and lineage of the great lyric poets, and behold both their fathers and their language. First was Alcaeus of Mytilene, the most honoured [*or* eldest] of them all, a resonant son of Aeolus; and next to him one of the same city and speech, Sappho daughter of Eurygyus and Cleïs . . .

Suidas *Lexicon*: Sappho (1*st notice*): Daughter of Simon or of Eunominus, or of Eurygyus,[2] or of Ecrytus, or of Semus, or of Scamon,[3] or of Euarchus, or of Scamandronymus; mother's name Cleïs. A Lesbian of Eresus,[4] a lyric poetess; flourished in the 42nd Olympiad (B.C. 612–609) along with Alcaeus, Stesichorus, and Pittacus. She had three brothers,

[1] cf. Ov. *Ep.* 15. 29 [2] the exact form of the name is doubtful; cf. Ἐρίγυιος son of Larichus of Mytilene, *temp.* Alexander, Diod. 17. 27 [3] abbrev. of Scamandronymus [4] perh. wrong, see above

Χάραξος, Εὐρύγυος.[1] ἐγαμήθη δὲ Κερκώλᾳ[2] ἀνδρὶ πλουσιωτάτῳ, ὁρμωμένῳ ἀπὸ Ἄνδρου· καὶ θυγατέρα ἐποίησατο ἐξ αὐτοῦ ἣ Κλεὶς ὠνομάσθη. ἑταῖραι δὲ αὐτῆς καὶ φίλαι γεγόνασι τρεῖς, Ἀτθίς, Τελεσίππα, Μεγάρα· πρὸς ἃς καὶ διαβολὴν ἔσχεν αἰσχρᾶς φιλίας. μαθήτριαι δὲ αὐτῆς Ἀναγύρα[3] Μιλησία, Γογγύλα Κολοφωνία, Εὐνείκα Σαλαμινία. ἔγραψε δὲ μελῶν λυρικῶν βιβλία θ'. καὶ πρώτη πλῆκτρον εὗρεν. ἔγραψε δὲ καὶ ἐπιγράμματα καὶ ἰάμβους καὶ μονῳδίας.

Suid. Σαπφὼ (β')· Λεσβία ἐκ Μυτιλήνης, ψ'λτρια. αὕτη δι' ἔρωτα Φάωνος τοῦ Μυτιληναίου ἐκ τοῦ Λευκάτου κατεπόντισεν ἑαυτήν. τινὲς δὲ καὶ ταύτης εἶναι λυρικὴν ἀνέγραψαν ποίησιν.

Ael. *V.H.* 12. 19 τὴν ποιήτριαν Σαπφὼ τὴν Σκαμανδρωνύμου θυγατέρα· ταύτην καὶ Πλάτων ὁ Ἀρίστωνος σοφὴν ἀναγράφει· πυνθάνομαι δὲ ὅτι καὶ ἑτέρα ἐν τῇ Λέσβῳ ἐγένετο Σαπφώ, ἑταῖρα οὐ ποιήτρια.

Ath. 13. 571 d καλοῦσι γοῦν καὶ αἱ ἐλεύθεραι γυναῖκες ἔτι καὶ νῦν καὶ αἱ παρθένοι τὰς συνήθεις καὶ φίλας ἑταίρας, ὡς ἡ Σαπφώ . . .

Ov. *Trist.* 2. 365

Lesbia quid docuit Sappho nisi amare puellas?
tuta tamen Sappho . . .

[1] mss Εὐργγίου [2] mss also Κερκύλᾳ [3] Ἀνακτορία?

---

[1] *or* plied as a trader between A. (an Ionian city) and Lesbos? [2] cf. Ov. *Ep.* 15. 70, 120 [3] Anactoria? [4] 'quill' prob. a mistake for *pēctis*, a kind of lyre, cf. Ath. 14. 635 e (below) [5] this must come from another source,

Larichus, Charaxus, Eurygyus. She was married to a very rich man called Cercōlas [*or* Cercylas] who came from Andros,[1] and had by him a daughter named Cleïs.[2] She had three companions or friends, Atthis, Telesippa, and Megara, to whom she was slanderously declared to be bound by an impure affection. Her pupils or disciples were Anagora[3] of Miletus, Gongyla of Colophon, Euneica of Salamis. She wrote nine Books of Lyric Poems, and was the inventor of the quill for striking the lyre.[4] [She wrote also 'inscriptions,' iambic verse, and monodies.][5]

Suidas *Lexicon*: Sappho (*2nd notice*): A Lesbian of Mytilene, a lyre-player. She threw herself from the Leucadian Cliff for love of Phaon the Mytilenaean. Some authorities say that she too was a lyric poetess.

Aelian *Historical Miscellanies* [in the next article to that on Phaon[6]]: The poetess Sappho daughter of Scamandronymus: Even Plato son of Ariston calls her wise.[7] I understand that there was another Sappho in Lesbos, a courtesan, not a poetess.

Athenaeus *Doctors at Dinner*: Freeborn women to this day, and girls, call their intimates and friends *hetaerae* or companions [the usual word for courtesan], as Sappho does in this passage (*fr.* 12).

Ovid *Songs of Sadness*: What lore did Sappho teach but how to love maidens?[8] Yet Sappho was safe . . .

as the term 'monodies' would cover most of the contents of her nine Books [6] n.b. he gives no other hint of a connexion between the two [7] the Greek means 'good at one's art or trade' [8] *or* teach her maidens but how to love

Sen. *Ep.* 88 quattuor milia librorum Didymus grammaticus scripsit. miserer er si tam multa supervacua legisset. in his libris de patria Homeri quaeritur, in his de Aeneae matre vera, in his libidinosior Anacreon an ebriosior vixerit, in his an Sappho publica fuerit, et alia quae erant dediscenda si scires; i nunc et longam esse vitam nega.

Ath. 13. 596 b *ἐνδόξους δὲ ἑταίρας καὶ ἐπὶ κάλλει διαφερούσας ἤνεγκεν καὶ ἡ Ναύκρατις· Δωρίχαν τε, ἣν ἡ καλὴ Σαπφὼ ἐρωμένην γενομένην Χαράξου τοῦ ἀδελφοῦ αὐτῆς κατ' ἐμπορίαν εἰς τὴν Ναύκρατιν ἀπαίροντος διὰ τῆς ποιήσεως διαβάλλει ὡς πολλὰ τοῦ Χαράξου νοσφισαμένην. Ἡρόδοτος δ' αὐτὴν Ῥοδῶπιν καλεῖ,*[1] *ἀγνοῶν ὅτι ἑτέρα τῆς Δωρίχης ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς, ὧν μέμνηται Κρατῖνος διὰ τούτων . . . εἰς δὲ τὴν Δωρίχαν τόδ' ἐποίησε τοὐπίγραμμα Ποσείδιππος, καίτοι καὶ ἐν τῇ Αἰσωπείᾳ*[2] *πολλάκις αὐτῆς μνημονεύσας. ἐστὶ δὲ τόδε·*

Δωρίχα, ὀστέα μὲν σ' ἰπαλῆς κόσμησ' ἀπόδεσμα[3]
χαίτης ἥ τε μύρων ἔκπνοος ἀμπεχόνη
ἥ ποτε τὸν χαρίεντα περιστείλασα[4] *Χάραξον*
σύγχρους ὀρθρίνων ἤψαο κισσυβίων.
Σαπφὼς[5] *δὲ μένουσι φίλης ἔτι καὶ μενέουσιν*
ᾠδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες·
οὔνομα σὸν μακάριστον, ὃ Ναύκρατις ὧδε φυλάξει
ἔστ' ἀνίῃ Νείλου ναῦς ἔφαλος τενάγη.[6]

[1] cf. Str. 17. 808 [2] Wil: mss Αἰθιοπίᾳ [3] *E*, cf. *ἀπόδεσμος*, *δέσμα* and for rhythm *A.P.* 12. 98. 1: mss *ἀπαλὰ* (taking *δέσμα* for plur.) *κοιμήσατο δεσμῶν* (gen. due to *ἀπὸ*) [4] *E*: mss pres. [5] mss Σαπφῶαι [6] mss *εσταν εἴη* and *γεγανη*

Seneca *Letters to Lucilius*: The grammarian Didymus wrote four thousand books. I should pity him if he had merely read so many useless works. The list includes treatises in which he discusses the birthplace of Homer, the true mother of Aeneas, whether Anacreon was more of a rake than a sot, whether Sappho was a prostitute, and other questions the answers to which you ought to forget if you knew them. And then people complain that life is short.[1]

Athenaeus *Doctors at Dinner*: Naucratis too was the home of some famous and extremely beautiful courtesans. Doricha, who became the mistress of Sappho's brother Charaxus when his business took him to Naucratis, is trounced by his sister in a poem for having fleeced him.[2] But Herodotus calls her Rhodopis,[3] not understanding that Doricha is not the same as the woman who dedicated at Delphi the famous spits mentioned by Cratinus . . .[4] The following epigram was written on Doricha by Poseidippus, who speaks of her many times in the *Aesopeia*: 'Tis but your bones they adorn now, Doricha, that band for your dainty hair, that spice-breathing mantle you wrapped the fair Charaxus in, to lie breast to breast with you till 'twas time for the morning cup; yet the white speaking pages of Sappho's dear song abides and ever will. Happy your name, which Naucratis thus will keep for her own so long as sea-going ship sails up the shallows of the Nile.'[5] Moreover there was a certain

[1] cf. Mart. 7. 69, 10. 35, Apul. *Apol.* 413, Ov. *A.A.* 3. 331, *Rem.* 761 [2] cf. Ov. *Ep.* 15. 63, 117 [3] cf. Str. 17. 808 [4] quotation lost [5] *i. e.* steers its way among the lagoons; N. was 30 miles from the sea

καὶ Ἀρχεδίκη δ' ἦν τις ἐκ τῆς Ναυκράτεως καὶ αὐτὴ ἑταίρα καλή . . . καὶ ἡ ἐξ Ἐρέσου δὲ τῆς <ἑτέρας Σαπφοῦς ὁμώνυμος> ἑταίρα[1] τοῦ καλοῦ Φάωνος ἐρασθεῖσα περιβόητος ἦν, ὥς φησι Νύμφις[2] ἐν Περίπλῳ Ἀσίας.

Str. 10. 452 [π. Λευκάδος]· ἔχει δὲ τὸ τοῦ Λευκάτα Ἀπόλλωνος ἱερὸν καὶ τὸ ἅλμα τὸ τοὺς ἔρωτας παύειν πεπιστευμένον, 'Οὗ δὴ λέγεται πρώτη Σαπφώ,' ὥς φησιν ὁ Μένανδρος,

τὸν ὑπέρκομπον θηρῶσα Φάων'
οἰστρῶντι πόθῳ ῥῖψαι πέτρας
ἀπὸ τηλεφανοῦς· ἀλλὰ κατ' εὐχὴν
σύν, δέσποτ' ἄναξ, εὐφημείσθω
τέμενος περὶ Λευκάδος ἀκτῆς.[3]

ὁ μὲν οὖν Μένανδρος πρώτην ἁλέσθαι λέγει τὴν Σαπφώ, οἱ δ' ἔτι ἀρχαιολογικώτεροι Κέφαλόν φασιν ἐρασθέντα Πτερέλα τὸν Δηϊονέως. ἦν δὲ καὶ πάτριον τοῖς Λευκαδίοις κατ' ἐνιαυτὸν ἐν τῇ θυσίᾳ τοῦ Ἀπόλλωνος ἀπὸ τῆς σκοπῆς ῥιπτεῖσθαί τινα τῶν ἐν αἰτίαις ὄντων ἀποτροπῆς χάριν, ἐξαπτομένων ἐξ αὐτοῦ παντοδαπῶν πτερωτῶν[4] καὶ ὀρνέων ἀνακουφίζειν δυναμένων τῇ πτήσει τὸ ἅλμα, ὑποδέχεσθαι δὲ κάτω μικραῖς ἁλιάσι κύκλῳ περιεστῶτας πολλοὺς καὶ περισῴζειν εἰς δύναμιν τῶν ὅρων ἔξω τὸν ἀναληφθέντα.

Serv. Verg. *Aen.* 3. 279 Phaon cum esset navicularius solitus a Lesbo in continentem proximos quósque mercede transvehere Venerem mutatam in anuis formam gratis transvexit. quapropter ab ea donatus unguenti alabastro, cum se indies inditum

[1] Kaib. -*E*: mss τῆς ἑταίρας Σαπφὼ [2] Wil. Νυμφόδωρος

Archedicè of Naucratis, who was a beautiful courtesan. . . . And according to Nymphis in his *Voyage around Asia*, the courtesan of Eresus, who was a namesake of the other Sappho and lover of the fair Phaon, won great notoriety.

Strabo *Geography* [the Leucadian Cliff]: This rock is surmounted by the temple of Apollo Leucātes, and from it is the leap which is supposed to cure love, 'Where Sappho first,' to quote Menander, 'in wild love-chase of the proud Phaon, leapt from the far-seen rock. But now in accordance with my vow shall thy precinct be praised, great Lord, by reason of the Cliff Leucadian.'[1] Though Menander thus gives priority to Sappho, greater antiquaries than he assign it to Cephalus son of Deïoneus. It was an old custom of the Leucadians, every year at the sacrifice to Apollo, as an apotropaic or averting rite, to throw from the cliff some guilty person to whom they had previously fastened all sorts of birds and other winged creatures which by their fluttering might break his fall, a large crowd waiting below in small boats to pick him up and if possible carry him off to safety beyond the frontier.

Servius on the *Aeneid*: Phaon, who was a ferryman plying for hire between Lesbos and the mainland, one day ferried over for nothing the Goddess Venus in the guise of an old woman, and received from her for the service an alabaster box of unguent

[1] cf. Hesych. Mil. Σαπφώ

---

[3] last line and a half added by Bentley from Hesych. Λευκάδος: σόν: mss σήν [4] *E*: mss πτερῶν

ungeret, feminas in suum amorem trahebat, in quis fuit una quae de monte Leucate, cum potiri eius nequiret, abiecisse se dicitur, unde nunc auctorare se quotannis solent qui de eo monte iaciantur in pelagus.[1]

Suid. Φάων· <Φάων ὑπάρχεις τῷ κάλλει καὶ τῷ τρόπῳ·> φασὶν ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφάνων. τοῦ γὰρ Φάωνος ἐρασθῆναί φασι σὺν πολλοῖς καὶ Σαπφώ, οὐ τὴν ποιήτριαν, ἀλλὰ <ἄλλην> Λεσβίαν· καὶ ἀποτυγχάνουσαν ῥῖψαι ἑαυτὴν ἀπὸ τῆς Λευκάδος πέτρας.

Ath. 2. 69 d Κρατῖνος δέ φησι Φάωνος ἐρασθεῖσαν τὴν Ἀφροδίτην ἐν 'καλαῖς θριδακίναις' αὐτὸν ἀποκρύψαι, Μαρσύας δ' ὁ νεώτερος ἐν χλόῃ κριθῶν.

Ov. *Ep.* 15. 51

Nunc tibi Sicelides veniunt nova praeda puellae;
quid mihi cum Lesbo? Sicelis esse volo.

Ath. 10. 450 e ἐν δὲ Σαπφοῖ ὁ Ἀντιφάνης αὐτὴν τὴν ποιήτριαν προβάλλουσαν ποιεῖ γρίφους . . .:—13. 572 c Ἔφιππος ἐν Σαπφοῖ φησιν . . .:—8. 339 c καὶ Τιμοκλῆς δ' ἐν Σαπφοῖ φησιν . . .:—13. 599 d καὶ γὰρ Δίφιλος ὁ κωμῳδιοποιὸς πεποίηκεν ἐν Σαπφοῖ

[1] Ael. *V.H.* 12. 18 adds τά γε μὴν τελευταῖα ἀπεσφάγη μοιχεύων ἁλούς

---

[1] prob. basis of the plot of the *Phaon* of the comedy-writer Plato [2] Aelian adds 'Finally he was taken in adultery and murdered' [3] from Apostolius *Par.* 2. 707 who appends a slightly different version derived from *Epit.* Palaeph. *Incred.*

the daily use of which made women fall in love with him.[1] Among those who did so was one who in her disappointment is said to have thrown herself from Mount Leucates, and from this came the custom now in vogue of hiring people once a year to throw themselves from that place into the sea.[2]

Suidas *Lexicon*: Phaon: <You are a Phaon both in looks and deeds>[3]; this proverb is used of those who are lovely and disdainful. They say that this Phaon was beloved by many women, among them Sappho, not the poetess but another Lesbian, who failing to win him threw herself from the Leucadian Cliff.

Athenaeus *Doctors at Dinner*: According to Cratinus, Aphrodite when beloved by Phaon concealed him among the 'fair wild-lettuces'; but according to the younger Marsyas the hiding-place was among the growing barley.

Ovid *Letters of the Heroines* [Sappho to Phaon]: The maidens of Sicily are now thy prey: what have I to do with Lesbos? I am fain to be a Sicilian.

Athenaeus *Doctors at Dinner*: Antiphanes in his *Sappho* makes the poetess propound riddles . . . ;—To quote the *Sappho* of Ephippus . . . ;—Compare Timocles' *Sappho* . . . ;—Diphilus, the

49 with the inconsistent addition, 'this is the P. in whose honour as her lover many a song has been written by Sappho'; cf. Phot. *Lex.* Λευκάτης, Φάων, Phot. *Bibl.* 153 (list of Leucadian Cliff leapers without mention of S.), Luc. *D. Mort.* 9. 2 (substitutes Chios for Lesbos), Ov. *Ep.* 15. 175f (confuses the 'two Sapphos'), *Am.* 2. 18. 34, Stat. *Silv.* 5. 3. 155 (substitutes Calchis (sic) for Leucas), Apost. *Paroem.* 17. 80, Alciphr. 3. 1, Aus. *Id.* 6. 21, *Ep.* 92, Plin. *N.H.* 22. 9, Plaut. *Mil.* 1246

δράματι Σαπφοῦς ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώνακτα.[1]

Max. Tyr. 24 (18) ὁ τῆς Λεσβίας (ἔρως), εἴ τοι χρὴ πρεσβύτερα τοῖς νεοῖς εἰκάσαι, τί ἂν εἴη ἄλλο ἢ ἡ Σωκράτους τέχνη ἐρωτική; δοκοῦσι γάρ μοι τὴν κατὰ ταὐτὸ ἑκάτερος φιλίαν, ἡ μὲν γυναικῶν, ὁ δὲ ἀρρένων ἐπιτηδεῦσαι. καὶ γὰρ πολλῶν ἐρᾶν ἔλεγον καὶ ὑπὸ πάντων ἁλίσκεσθαι τῶν καλῶν. ὅτι γὰρ ἐκείνῳ Ἀλκιβιάδης καὶ Χαρμίδης καὶ Φαῖδρος, τοῦτο τῇ Λεσβίᾳ Γύριννα καὶ Ἄτθις καὶ Ἀνακτορία· καὶ ὅτιπερ Σωκράτει οἱ ἀντίτεχνοι Πρόδικος καὶ Γοργίας καὶ Θρασύμαχος καὶ Πρωταγόρας, τοῦτο τῇ Σαπφοῖ Γοργὼ καὶ Ἀνδρομέδα· νῦν μὲν ἐπιτιμᾷ ταύταις, νῦν δὲ ἐλέγχει καὶ εἰρωνεύεται αὐτὰ ἐκεῖνα τὰ Σωκράτους.

Ov. *Ep.* 15. 15

Nec me Pyrrhiades Methymniadesve puellae
nec me Lesbiadum cetera turba iuvant;
vilis Anactorie, vilis mihi candida Cydro,[2]
non oculis grata est Atthis ut ante meis,
atque aliae centum, quas hic[3] sine crimine amavi;
improbe, multarum quod fuit, unus habes.

[1] cf. Ibid. 11. 487 a κινδνός [2] mss also *Cydno*, but see L. & S. [3] some mss *non*

[1] cf. Bek. *An.* p. 89, Poll. 7; it will be seen that the ancient testimony for connecting the poetess with the Leucadian Cliff and with Phaon is conflicting; there were many White Rocks, and her leap, which if it was more than a threat or a

writer of comedies, in his play *Sappho* has made the poetess beloved by Archilochus and Hipponax.[1]

Maximus of Tyre *Dissertations*: The love of the fair Lesbian, if it is right to argue from one age to another, was surely the same as the art of love pursued by Socrates. They both appear to me to have practised the same sort of friendship, he of males, she of females, both declaring that their beloved were many in number and that they were captivated by all beautiful persons. What Alcibiades, Charmides, and Phaedrus were to him, Gyrinna,[2] Atthis, and Anactoria were to her, and what his rival craftsmen, Prodicus, Gorgias, Thrasymachus and Protagoras were to Socrates, that Gorgo and Andromeda were to Sappho, who sometimes takes them to task and at others refutes them and dissembles with them exactly like Socrates.

Ovid *Letters of the Heroines* [Sappho to Phaon]: I take no pleasure in the maids of Pyrrha or Methymna nor in any of the daughters of Lesbos; Anactoria is a paltry jade, and so is the fair Cydro; my eyes see no beauty now in Atthis, or in a hundred others whom I have loved here so innocently.[3] Bold man! what once belonged to many is now thine alone.

metaphor, can hardly have been fatal (cf. Max. Tyr. 18. 9 below), was apparently transferred to Leucates from one of these; the second Sappho is prob. a late invention intended to reconcile the testimony of S.'s own works with the dramatic adaptations of the popular tradition to the myth of Phaon and the Goddess (cf. Jason and Hera Ap. Rhod. 3. 68) [2] cf. Suid. Γυρίννα, Eust. *Il.* 2 p. 247 [3] *or* not without evil imputation

Philostr. *Vit. Ap.* 1. 30 *εἰσῄει μὲν δὴ* (*ὁ Ἀπολλώνιος*) *παραπεμπόμενος ὑπὸ πλειόνων· τουτὶ γὰρ ᾤοντο καὶ τῷ βασιλεῖ χαρίζεσθαι μαθόντες ὡς χαίροι ἀφιγμένῳ· διιὼν δὲ ἐς τὰ βασίλεια οὐ διέβλεψεν ἐς οὐδὲν τῶν θαυμαζομένων, ἀλλ ὥσπερ ὁδοιπορῶν διῄει αὐτὰ, καὶ καλέσας τὸν Δάμιν 'Ἥρου με' ἔφη 'πρώην, ὅτι ὄνομα ἦν τῇ Παμφύλῳ γυναικὶ ἣ δὴ Σαπφοῖ τε ὁμιλῆσαι λέγεται καὶ τοὺς ὕμνους οὓς ἐς τὴν Ἄρτεμιν τὴν Περγαίαν ἄδουσι συνθεῖναι τὸν Αἰολέων τε καὶ Παμφύλων τρόπον.' 'Ἠρόμην' ἔφη, 'τὸ δὲ ὄνομα οὐκ εἶπας.' 'Οὐκ, ὦ χρηστέ, εἶπον ἀλλ' ἐξηγούμην σοι τοὺς νόμους τῶν ὕμνων καὶ τὰ ὀνόματα καὶ ὅπη τὰ Αἰολέων ἐς τὸ ἀκρότατόν τε καὶ τὸ ἴδιον Παμφύλων παρήλλαξε· πρὸς ἄλλῳ μετὰ ταῦτα ἐγενόμεθα, καὶ οὐκέτ' ἤρου με περὶ τοῦ ὀνόματος· καλεῖται τοίνυν ἡ σοφὴ αὕτη Δαμοφύλη, καὶ λέγεται τὸν Σαπφοῦς τρόπον παρθένους τε ὁμιλητρίας κτήσασθαι ποιήματά τε συνθεῖναι τὰ μὲν ἐρωτικὰ, τὰ δὲ ὕμνους. τά τοι ἐς τὴν Ἄρτεμιν καὶ παρῴδηται αὐτῇ καὶ ἀπὸ τῶν Σαπφῴων ᾄσται.'*

Hor. *Od.* 2. 13. 21 [Ille et nefasto te posuit die . . ., arbos . . .]:

> Quam paene furvae regna Proserpinae
> et iudicantem vidimus Aeacum
> sedesque discriptas piorum et
> Aeoliis fidibus querentem
>
> Sappho puellis de popularibus
> et te sonantem plenius aureo,
> Alcaee, plectro . . .

Philostratus *Life of Apollonius of Tyana*: So Apollonius entered the king's palace, accompanied by a number of people who, knowing that he had been pleased to hear of his arrival in Babylon, thought that this would gratify the king. As he passed in however, the philosopher paid no attention whatever to the wonders of the house, but walking by them as though he were travelling on the high road, called Damis to him and said: 'You asked me the other day the name of the fair Pamphylian who is said to have been associated with Sappho and to have composed the hymns they sing to Artemis of Perga in the Aeolian and Pamphylian modes.' 'So I did,' he replied; 'but received no answer.' 'No, my friend, but you received an account of the tunes of the hymns and the names they are known by, and how she changed the Aeolian peculiarities into her own noble Pamphylian. We then turned to something else, and you did not repeat your original request. Well, this clever woman's name was Damophyla, and she is said to have had girl-companions like Sappho, and to have composed love-poems and hymns just as she did. The hymns to Artemis are her adaptations of her teacher's work, deriving ultimately from Sapphic originals.'

Horace *Odes* [Ill-omened was the day of your planting, good tree . . .]: How near was I to beholding the realm of gloomy Proserpine with Aeacus holding court, how near to seeing the abodes assigned the holy dead, with Sappho singing elegies to the Aeolian string upon the girls of her city, and thee, Alcaeus, chanting with fuller note and quill of gold . . .

Ov. *Ep.* 15. 201

Lesbides, infamem quae me fecistis amore,
desinite ad citharas turba venire meas.

Arist. *Rh.* 1398 b *πάντες τοὺς σοφοὺς τιμῶσιν· Πάριοι γοῦν Ἀρχίλοχον καίπερ βλάσφημον ὄντα τετιμήκασι, καὶ Χῖοι Ὅμηρον οὐκ ὄντα πολίτην, καὶ Μυτιληναῖοι Σαπφὼ καίπερ γυναῖκα οὖσαν, καὶ Λακεδαιμόνιοι Χίλωνα τῶν γερόντων ἐποίησαν ἥκιστα φιλόλογοι ὄντες . . .*

Poll. 9. 84 *Μυτιληναῖοι Σαπφὼ τῷ νομίσματι ἐνεχαράξαντο.*

Anth. Pal. 7. 14 *Ἀντιπάτρου Σιδωνίου εἰς Σαπφὼ τὴν Μυτιληναίαν τὴν λυρικήν·*

Σαπφώ τοι κεύθεις, χθὼν Αἰολί, τὰν μετὰ Μούσαις
ἀθανάταις θνατὰν Μοῦσαν ἀειδομέναν,
ἂν Κύπρις καὶ Ἔρως συνάμ' ἔτραφον, ἃς μέτα Πειθὼ
ἔπλεκ' ἀείζωον Πιερίδων στέφανον,
Ἑλλάδι μὲν τέρψιν, σοὶ δὲ κλέος. ὦ τριέλικτον
Μοῖραι δινεῦσαι νῆμα κατ' ἠλακάτας,
πῶς οὐκ ἐκλώσασθε πανάφθιτον ἦμαρ ἀοιδῷ
ἄφθιτα μησαμέναᾳ δῶρ' Ἐλικωνιάδων ;

Plat. *Phaedr.* 235 b ΣΩ. *Τοῦτο ἐγώ σοι οὐκέτι οἷος τ' ἔσομαι πίθεσθαι· παλαιοὶ γὰρ καὶ σοφοὶ ἄνδρες τε καὶ γυναῖκες περὶ αὐτῶν εἰρηκότες καὶ γεγραφότες ἐξελέγξουσί με, ἐάν σοι χαριζόμενος συγχωρῶ.—*ΦΑΙ. *Τίνες οὗτοι ; καὶ ποῦ σὺ βελτίω*

Ovid *Letters of the Heroines* [Sappho to Phaon]: Daughters of Lesbos, whose love has made me of ill-report, throng ye no more to hear my lyre.

Aristotle *Rhetoric*: . . . The wise are honoured universally. The Parians have honoured Archilochus despite his slanderous tongue, the Chians Homer though he was not of their city, and the Mytilenaeans Sappho for all she was a woman;[1] while the Spartans, who have no love for learning, elected Chilon of their senate . . .[2]

Pollux *Vocabulary*: The Mytilenaeans engraved Sappho on their coinage.[3]

Palatine Anthology: Antipater of Sidon on Sappho the lyric poetess of Mytilene: That which thou coverest, Aeolian soil, is Sappho,[4] one that is sung for a mortal Muse among Muses immortal, one that was reared by Cypris and by Eros too, one that helped Persuasion weave the everlasting garland of the Pierian Maids, a delight unto Greece, a glory unto thee. O ye Fates that twirl the three-ply thread from the distaff, why span ye not a never-dying day for the songstress who devised the deathless gifts of the Daughters of Helicon?

Plato *Phaedrus*: SOCRATES: I cannot go so far with you as that. There are wise ancients, both men and women, whose sayings or writings will refute me if I allow you to persuade me of it.—PHAEDRUS: Who may these be? and where have they given you

[1] n.b. he does not say 'an *evil* woman' [2] cf. Aristid. 12. 85 [3] where she may still be seen, as also on that of Eresus; in both cases the coins are of Imperial times [4] Antipater (c. 120 B.C.) evidently believed that S. died in Lesbos; cf. Max. Tyr. 18. 9 below

*τούτων ἀκήκοας ;—*ΣΩ. *Νῦν μὲν οὕτως οὐκ ἔχω εἰπεῖν· δῆλον δὲ ὅτι τινῶν ἀκήκοα, ἤ που Σαπφοῦς τῆς καλῆς ἢ Ἀνακρέοντος τοῦ σοφοῦ ἢ καὶ συγγραφέων τινῶν.*

Max. Tyr. 24 (18). 7 . . . *Σαπφοῦς τῆς καλῆς— οὕτω γὰρ αὐτὴν ὀνομάζων χαίρει (ὁ Σωκράτης) διὰ τὴν ὥραν τῶν μελῶν, καίτοι μικρὰν οὖσαν καὶ μέλαιναν.*

Ov. *Ep.* 15. 31

Si mihi difficilis formam natura negavit,
ingenio formae damna rependo meae :
nec me despicias, si sim tibi corpore parva
mensuramque brevis nominis ipsa feram [1] ;
sum brevis, at nomen quod terras impleat omnes
est mihi ; mensuram nominis ipsa fero.
candida si non sum, placuit Cepheïa Perseo
Andromede, patriae fusca colore suae ;
et variis albae iunguntur saepe columbae,
et niger a viridi turtur amatur ave.

Luc. *Imag.* 18 [*π. τὴν σοφίας καὶ συνέσεως εἰκόνα*]· *δεύτερον δὲ καὶ τρίτον παράδειγμα Θεανώ τε ἐκείνη καὶ ἡ Λεσβία μελοποιὸς καὶ Διοτίμα ἐπὶ ταύταις, ἡ μὲν τὸ μεγαλόνουν ἡ Θεανὼ συμβαλλομένη εἰς τὴν γραφήν, ἡ Σαπφὼ δὲ τὸ γλαφυρὸν τῆς προαιρέσεως . . .*

Sch. *ad loc.* *ὅσον εἰς σῶμα εἰδεχθεστάτη <ἡ> Σαπφώ, μικρά τε καὶ μέλαινα ὁρωμένη, καὶ τί γὰρ ἄλλο ἢ ἀηδὼν ἀμόρφοις τοῖς πτίλοις ἐπὶ σμικρῷ τῷ σώματι περιειλημένη.*

Porph. Hor. *Sat.* 2. 1. 30 [ille velut fidis arcana sodalibus olim | credebat libris]: Aristoxeni sententia

better information in this matter?—SOCRATES: I cannot say off-hand; but I have certainly got it from one of them, from the beautiful Sappho perhaps, or from the wise Anacreon, or some writer of history.

Maximus of Tyre: . . . the beautiful Sappho, for so Socrates rejoices to call her because of the beauty of her lyric verse, although she was small and dark.

Ovid *Letters of the Heroines* [Sappho to Phaon]: If crabbed Nature has denied me beauty, I make up for the lack of it with wit; nor should you despise me for one that hath both small stature and little fame. Little I am indeed, but I have a name which fills the world, and 'tis by the measure of that I go. If I am not fair, remember that Cepheian Andromeda found favour with Perseus, dark though she was with the hue of her birthplace, remember that white doves mate with pied, dark turtle-doves with green.

Lucian *Portraits* [on an ideal picture of Wit and Wisdom]: For a second and third model (after Aspasia) we might take Theano and the Lesbian lyrist, and for a fourth Diotīma, Theano contributing to our picture greatness of mind and Sappho refinement of character . . .

Scholiast on the passage: Physically Sappho was very ill-favoured, being small and dark, like a nightingale with ill-shapen wings enfolding a tiny body.

Porphyrio on Horace [Lucilius used to confide his secrets to his books as though to a faithful comrade]: This idea comes from Aristoxenus, who

---

[1] mss *fero*

est; ille enim in suis scriptis ostendit Sapphonem et Alcaeum volumina sua loco sodalium habuisse.

Max. Tyr. 24 (18). 9 *ἀναίθεται* (ὁ Σωκράτης) *τῇ Ξανθίππῃ ὀδυρομένῃ ὅτε*[1] *ἀπέθνῃσκεν, ἡ δὲ Σαπφὼ τῇ θυγατρί·*

οὐ γὰρ θέμις ἐν μοισοπόλῳ οἰκίᾳ
θρῆνον θέμεν· οὐκ ἄμμι πρέπει τάδε.

Anth. Pal. 9. 506 Πλάτωνος εἰς Σαπφώ·
Ἐννέα τὰς Μούσας φασίν τινες· ὡς ὀλιγώρως·
ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

Ibid. 7. 718: Νοσσίδος εἰς Νοσσίδα·
Ὦ ξεῖν', εἰ τύ γε πλεῖς ποτὶ καλλίχορον Μυτιλάναν
τὰν Σαπφοῦς χαρίτων αἶθος[2] ἐνανσαμέναν,
εἰπὼν[3] ὡς Μούσαισι φίλα τ' ἦν ἄ τε Λοκρὶς γᾶ
τίκτε μ'[4] ἴσαις δ' ὅτι μοι τοὔνομα Νόσσις, ἴθι.[5]

Ibid. 7. 407 Διοσκορίδου εἰς Σαπφὼ τὴν Μυτιληναίαν, τὴν μελοποιόν, τὴν ἐν τῇ λυρικῇ ποιήσει θαυμαζομένην·
Ἥδιστον φιλέουσι νέοις προσανάκλιμ' ἐρώτων,[6]
Σαπφώ, σὺν Μούσαις ἥ ῥά σε Πιερίη
ἡ Ἑλικὼν εὔκισσος ἴσα πνείουσαν ἐκείναις
κοσμεῖ, τὴν Ἐρέσῳ Μοῦσαν ἐν Αἰολίδι,
ἥ καὶ Τμὴν Τμέναιος ἔχων εὐφεγγέα πεύκην
σύν σοι νυμφιδίων ἵσταθ' ὑπὲρ θαλάμων,

[1] mss ὅτι [2] *E*: mss ἄνθος [3] *E*: mss εἰπεῖν [4] Mein: mss φίλα (φίλαν) τῆναιτε λόκρισσα τίκτειν (τίκτεν, τίκτ' ἔμ') [5] ἴσαις 2nd person sing. as Theocr. 14. 34 *E*, al. partcp. [6] Salm: mss πρὸς ἀνάκλιν' ἐρ.

points out in his writings that Sappho[1] and Alcaeus made comrades of their books.

Maximus of Tyre *Dissertations*: Socrates chides Xanthippè for weeping when he is about to die, and so does Sappho chide her daughter: 'No house that serveth the Muses hath room for grief, and so it ill-beseemeth this.'[2]

Palatine Anthology: Plato on Sappho: Some say there are nine Muses; but they should stop to think. Look at Sappho of Lesbos; she makes a tenth.

The Same: Nossis on herself: If you are bound for Mytilene, stranger, the city of fair dances which kindled the fierce flame of Sappho's lovelinesses,[3] go not away till you have told them that I was dear to the Muses, and a daughter of Locris, and that you know my name is Nossis.[4]

The Same: Dioscorides on Sappho of Mytilene, the lyric poetess, the wonder of lyric poetry: Sweetest of all love-pillows unto the burning young, sure am I that Pieria or ivied Helicon must honour thee, Sappho, along with the Muses, seeing that thy spirit is their spirit, thou Muse of Aeolian Erĕsus; or that Hymen God of Weddings hath thee with him when he standeth bright torch in hand over bridal beds,

[1] Acro says 'Anacreon' [2] this little poem is printed here because it proves with its context that S. died quietly at home: for her age at death cf. *fr.* 42 [3] or 'Graces,' the name of her book? cf. *A.P.* 9. 184 [4] see also *A.P.* 5. 132

ἡ Κινύρεω νέον ἔρνος ὀδυρομένη Ἀφροδίτη
σύνθρηνος μακάρων ἱερὸν ἄλσος ὁρῇς·
πάντη, πότνια, χαῖρε θεοῖς ἴσα· σὰς γὰρ ἀοιδὰς [1]
ἀθανάτων ἄγομεν [2] νῦν ἔτι θυγατέρας.

Anth. Pal. 4. 1 Μελεάγρου στέφανος·
Μοῦσα φίλα, τίνι τάνδε φέρεις πάγκαρπον ἀοιδὰν;
ἢ τίς ὁ καὶ τεύξας ὑμνοθετᾶν στέφανον.;
ἄνυσε μὲν Μελέαγρος, ἀριζάλῳ δὲ Διοκλεῖ
μναμόσυνον ταύταν ἐξεπόνησε χάριν,
πολλὰ μὲν ἐμπλέξας Ἀνύτης κρίνα, πολλὰ δὲ Μοιροῦς
λείρια, καὶ Σαπφοῦς βαιὰ μὲν ἀλλὰ ῥόδα . . .

Ibid. 7. 15 Ἀντιπάτρου εἰς τὴν αὐτήν·
Οὔνομά μευ Σαπφώ· τόσσον δ' ὑπερέσχον ἀοιδᾶν
θηλειᾶν, ἄνδρων ὅσσον ὁ Μαιονίδας.[3]

Ibid. 9. 66 Ἀντιπάτρου Σιδωνίου εἰς Σαπφὼ τὴν Μυτιληναίαν ἐγκωμιαστικόν·
Μναμοσύναν ἔλε θάμβος, ὅτ' ἔκλυε τᾶς μελιφώνου
Σαπφοῦς, μὴ δεκάταν Μοῦσαν ἔχουσι βροτοί.

Ibid. 9. 571 Ἀδέσποτον· εἰς τοὺς Ἐννέα Λυρικούς·
Ἔκλαγεν ἐκ Θηβῶν μέγα Πίνδαρος· ἔπνεε τερπνὰ
ἡδυμελεῖ φθόγγῳ μοῦσα Σιμωνίδεω·
λάμπε [4] Στησίχορός τε καὶ Ἴβυκος· ἦν γλυκὺς Ἀλκμὰν·
λαρὰ δ' ἀπὸ στομάτων φθέγξατο Βακχυλίδης·

[1] Reiske-Tyrwhitt: mss θεοῖς γὰρ ἴσας ἀοιδὰς [2] Heck:

or Aphrodite with her when she bewails the fair young offspring of Cinyras in the sacred grove of the Blest. Howsoe'er it be, I bid thee all hail, Great Lady, even as any God; for we still hold thy songs to be daughters of an Immortal.

Palatine Anthology: The Garland of Meleager:[1] To whom, dear Muse, bring you this song so rich in fruit? and who is the fashioner of this your garland of minstrels? It is the work of Meleager, and he hath made it to be a keepsake for the admired Diocles. Inwoven here is many a lily of Anytè's, many a white lily of Moero's, and of the flowers of Sappho few, but roses . . .

The Same: Antipater on Sappho: My name is Sappho, and my song surpasses the songs of women even as Homer's the songs of men.

The Same: Antipater of Sidon, encomium on Sappho of Mytilene: Memory was astonished when she heard the honey-voiced Sappho, wondering whether mankind possessed a tenth Muse.

The Same: Anonymous on the Nine Lyric Poets: Pindar of Thebes clanged amain; the Muse of Simonides breathed a joy of delicious-noted sound; Stesichorus and Ibycus rang clear; Alcman was sweet; and the lips of Bacchylides uttered pleasant

[1] poem introductory to M.'s collection of Greek 'Epigrams,' in which each poet's works are likened to a flower

---

mss ἀθανάτας ἔχομεν [3] mss ἀοιδὰν (-ῶν) θηλειᾶν (-ων), stone -ων -ων [4] mss λάμπει

Πειθὼ Ἀνακρείοντι συνεσπετο· ποικίλα δ' ηὔδα[1]
Ἀλκαῖος πυκνῇ Λέσβιος Αἰολίδι.[2]
ἀνδρῶν δ' οὐκ ἐνάτη Σαπφὼ πέλεν, ἀλλ' ἐρατειναῖς
ἐν Μούσαις δεκάτη Μοῦσα καταγράφεται.

Cat. 35. 16 . . . . . Sapphica puella
Musa doctior.

Hor. *Od.* 4. 9. 11 . . . . . spirat adhuc amor
vivuntque commissi calores
Aeoliae fidibus puellae.

Id. *Ep.* 1. 19. 28
Temperat Archilochi Musam pede mascula Sappho.

Anth. Pal. 7. 16 Πινύτου εἰς Σαπφώ·
Ὀστέα μὲν καὶ κωφὸν ἔχει τάφος οὔνομα Σαπφοῦς·
αἱ δὲ σοφαὶ κείνης ῥήσιες ἀθάνατοι.

Ibid. 17 Τυλλίου Λαυρέα εἰς τὴν αὐτήν·
Αἰολικὸν παρὰ τύμβον ἰών, ξένε, μή με θανοῦσαν
τὰν Μυτιληναίαν ἔννεπ' ἀοιδοπόλον·
τόνδε γὰρ ἀνθρώπων ἔκαμον χέρες, ἔργα δὲ φωτῶν
ἐς ταχινὴν ἔρρει τοιάδε ληθεδόνα·
ἦν δέ με Μουσάων ἐτάσῃς χάριν, ὧν ἀφ' ἑκάστης
δαίμονος ἄνθος ἐμῇ θῆκα παρ' ἐννεάδι,
γνώσεαι ὡς Ἀΐδεω σκότον ἔκφυγον, οὐδέ τις ἔσται
τῆς λυρικῆς Σαπφοῦς νώνυμος ἠέλιος.

Plut. *Pyth. Or.* 6 'οὐχ ὁρᾷς,' εἶπεν, 'ὅσην χάριν ἔχει τὰ Σαπφικὰ μέλη κηλοῦντα καὶ καταθέλγοντα τοὺς ἀκροωμένους;'

[1] mss αὐδᾷ [2] *E c. g.* or πτυκτῷ 'book' cf. πτυκτεῖον?: mss κυκνω (κύκνῳ) Λ. αἰολίδι, κύκνος Λ. Αἰολίσιν

things; Anacreon was attended by Persuasion; and Lesbian Alcaeus spake varied notes unto the wise Aeolian dame.[1] But Sappho was not ninth among the men; rather is she written tenth in the list of the lovely Muses.

Catullus: . . . thou maiden more cultured than the Sapphic Muse.

Horace: . . . Still breathes the love, still lives the flame, which the Aeolian maid confided to her strings.

The Same: The virile Sappho shapes her Muse with the metre of Archilochus.

Palatine Anthology: Pinytus on Sappho: This tomb hath the bones and the dumb name of Sappho, but her wise utterances are immortal.

The Same: Tullius Laureas on the same: When you pass my Aeolian grave, stranger, call not the songstress of Mytilene dead. For 'tis true this was built by the hands of men, and such works of humankind sink swiftly into oblivion; yet if you ask after me for the sake of the holy Muses from each of whom I have taken a flower for my posy of nine,[2] you shall know that I have escaped the darkness of Death, and no sun shall ever be that keepeth not the name of the lyrist Sappho.

Plutarch *Pythian Oracles*: 'Do you not see,' he asked, 'what a charm the songs of Sappho have to enchant and bewitch the listener?'

[1] *or* in his Aeolian book?

[2] her nine 'Books'

Plut. *Symp.* 7. 8. 2. [*τίσι μάλιστα χρηστέον ἀκροάμασι παρὰ δεῖπνον*]· *ἡμεῖς γάρ ἐσμεν οἱ πρῶτοι τοῦ πράγματος εἰσαγομένου δυσχεράναντες ἐν Ῥώμῃ καὶ καθαψάμενοι τῶν ἀξιούντων Πλάτωνα διαγωγὴν ἐν οἴνῳ ποιεῖσθαι καὶ τῶν Πλάτωνος διαλόγων ἐπὶ τραγήμασι καὶ μύροις ἀκούειν διαπίνοντας· ὅτε καὶ Σαπφοῦς ἀναλεγομένης*[1] *καὶ τῶν Ἀνακρέοντος ἐγώ μοι δοκῶ καταθέσθαι τὸ ποτήριον αἰδούμενος.*

Id. *Amat.* 18 *ἄξιον δὲ Σαπφοῦς παρὰ ταῖς Μούσαις μνημονεῦσαι· τὸν μὲν γὰρ Ἡφαίστου παῖδα Ῥωμαῖοι Κάκον ἱστοροῦσι πῦρ καὶ φλόγας ἀφιέναι διὰ τοῦ στόματος ἔξω ῥεούσας· αὕτη δ' ἀληθῶς μεμειγμένα πυρὶ φθέγγεται καὶ διὰ τῶν μελῶν ἀναφέρει τὴν ἀπὸ τῆς καρδίας θερμότητα 'Μούσαις εὐφώνοις ἰωμένη τὸν ἔρωτα' κατὰ Φιλόξενον.*

Id. *Symp.* 1. 5. 1 *Πῶς εἴρηται τὸ 'ποιητὴν δ' ἄρα Ἔρως διδάσκει κἂν ἄμουσος ᾖ τὸ πρίν' ἐζητεῖτο παρὰ Σοσσίῳ, Σαπφικῶν τινῶν ἀσθέντων . . .*

Gell. 19. 3 Is (Antonius Julianus), ubi eduliis finis et poculis mox sermonibusque tempus fuit, desideravit exhiberi quos habere eum adulescentem sciebat, scitissimos utriusque sexus qui canerent voce et qui psallerent. Ac posteaquam introducti pueri puellaeque sunt, iucundum in modum *Ἀνακρεόντεια* pleraque et Sapphica et poetarum quoque recentium *ἐλεγεῖα* quaedam erotica dulcia et venusta cecinerunt.

[1] Wyttenbach: mss *ἀναδεχ.*

Plutarch *Dinner-Table Problems* [on what is the best sort of entertainment during dinner]: We were the first to fall foul of the new fashion when it came to Rome, and to deprecate the use of Plato as an after-dinner diversion and his dialogues as things to be listened to over the wine and the dessert. Why, even when they recite us Sappho or Anacreon I feel I must put down my cup for very shame.

The Same *Amatorius*: Sappho fully deserves to be counted among the Muses. The Romans tell how Cacus son of Vulcan sent forth fire and flames from his mouth; and Sappho utters words really mingled with fire, and gives vent through her song to the heat that consumes her heart, thus 'healing' in the words of Philoxenus 'the pain of love with the melodies of the Muse.' [1]

The Same *Dinner-Table Problems*: One day at Sossius's, after the singing of some songs of Sappho's, a discussion arose of the line 'Love makes a poet of the veriest boor.'

Aulus Gellius *Attic Nights*: When the chief courses were disposed of and the time was come for wine and conversation, Antonius expressed a wish that we might be favoured with a performance by the first-rate singers and players of both sexes whom he knew our young friend to have at command. In due time the young musicians were summoned, and proceeded to give delightful renderings not only of a number of the songs of Anacreon and Sappho but also of some charming erotic elegies, as they are called, of modern composers.

[1] see *fr.* 2

Luc. *Am.* 30 *εἰ γυναιξὶν ἐκκλησία καὶ δικαστήρια καὶ πολιτικῶν πραγμάτων ἦν μετουσία, στρατηγὸς ἂν ἡ προστάτης ἐκεχειροτόνησο καί σε χαλκῶν ἀνδριάντων ἐν ταῖς ἀγοραῖς, ὦ Χαρίκλεις, ἐτίμων. σχεδὸν γὰρ οὐδὲ αὐταὶ περὶ αὐτῶν, ὁπόσαι προὔχειν κατὰ σοφίαν ἐδόκουν, εἰ τις αὐταῖς τὴν τοῦ λέγειν ἐξουσίαν ἐφῆκεν, οὕτω μετὰ σπουδῆς ἂν εἶπον, οὐχ ἡ Σπαρτιάταις ἀνθωπλισμένη Τελέσιλλα, δι' ἣν ἐν Ἄργει θεὸς ἀριθμεῖται γυναικῶν Ἄρης· οὐχὶ τὸ μελιχρὸν αὔχημα Λεσβίων Σαπφὼ καὶ ἡ τῆς Πυθαγορείου σοφίας θυγάτηρ Θεανώ· τάχα δ' οὐδὲ Περικλῆς οὕτως ἂν Ἀσπασίᾳ συνηγόρησεν.*

Id. *Merc. Cond.* 36 *καὶ γὰρ αὖ καὶ τόδε ὑπὸ τῶν γυναικῶν σπουδάζεται, τὸ εἶναί τινας αὐταῖς πεπαιδευμένους μισθοῦ ὑποτελεῖς ξυνόντας καὶ τῷ φορείῳ ἑπομένους· ἓν γάρ τι καὶ τοῦτο τῶν ἄλλων καλλωπισμάτων αὐταῖς δοκεῖ, ἢν λέγηται ὡς πεπαιδευμέναι τέ εἰσι καὶ φιλόσοφοι καὶ ποιοῦσιν ᾄσματα οὐ πολὺ τῆς Σαπφοῦς ἀποδέοντα.*

Cic. Verr. 2. 4. 57 Nam Sappho, quae sublata de prytaneo est, dat tibi iustam excusationem, prope ut concedendum atque ignoscendum esse videatur. Silanionis opus tam perfectum, tam elegans, tam elaboratum, quisquam non modo privatus sed populus potius haberet, quam homo elegantissimus atque eruditissimus Verres? . . . atque haec Sappho sublata quantum desiderium sui reliquerit, dici vix potest. nam cum ipsa fuit egregie facta, tum

---

[1] this, with the ref. to Syracuse in the Parian Chronicle

Lucian *Loves*: If women had a parliament and law-courts and a share in politics, you would have been elected general or president, Charicles, and they would have put up bronze statues in your honour in the market-place. Indeed, had all the wisest and cleverest of their own sex been given the opportunity, they could hardly have proved better champions of its cause, not even Telesilla, who took arms against the Spartan nobles and thus caused Ares to be reckoned at Argos a woman's God, nor yet Sappho, the delicious glory of the Lesbians, or Theano the daughter of the wisdom of Pythagoras. Nay, Pericles could hardly have made out so good a case for Aspasia.

The Same *On Paid Companions*: For ladies make a great point of having persons of education in their pay, to attend upon them and accompany them when they go abroad in their chairs, since there is nothing on which they pride themselves more than that it should be said that they are ladies of culture and learning and write poems almost as good as Sappho's.

Cicero *Orations against Verres*: The Sappho which was stolen from the town-hall of Syracuse,[1] that, I admit, almost grants you extenuation. Could this work of Silanion, so perfect, so refined, so finished, be in fitter hands public or private than those of a man so refined and cultured as Verres? . . . And how sorely this stolen Sappho was missed is almost more than words can tell. Not only was the poetess exquisitely portrayed, but there was a world-famous

(above), is thought to be an indication that Sappho's Sicilian exile was spent at Syracuse

epigramma Graecum pernobile incisum habuit in basi, quod iste eruditus homo et Graeculus, qui haec subtiliter iudicat, qui solus intelligit, si unam litteram Graecam scisset, certe non reliquisset.[1] nunc enim, quod inscriptum est inani in basi, declarat quid fuerit et id ablatum indicat.

Dion. Hal. *Dem.* 40 *ἡ δὲ μετὰ ταύτην (ἁρμονία) ἡ γλαφυρὰ καὶ θεατρικὴ καὶ τὸ κομψὸν αἱρουμένη πρὸ τοῦ σεμνοῦ τοιαύτη· ὀνομάτων αἰεὶ βούλεται λαμβάνειν τὰ λειότατα καὶ μαλακώτατα, τὴν εὐφωνίαν θηρωμένη καὶ τὴν εὐμέλειαν, ἐξ αὐτῶν δὲ τὸ ἡδύ. ἔπειτα οὐχ ὡς ἔτυχεν ἀξιοῖ ταῦτα τιθέναι οὐδὲ ἀπερισκέπτως συναρμόττειν θάτερα τοῖς ἑτέροις, ἀλλὰ διακρίνουσα τὰ ποῖα τοῖς ποίοις παρατιθέμενα μουσικωτέρους ποιεῖν δυνήσεται τοὺς ἤχους, καὶ σκοποῦσα κατὰ ποῖον σχῆμα ληφθέντα χαριεστέρας ἀποτελέσει τὰς συζυγίας, οὕτως συναρμόττειν ἕκαστα πειρᾶται, πολλὴν σφόδρα ποιουμένη φροντίδα τοῦ συνέχεσθαι*[2] *καὶ συνηλεῖφθαι καὶ προπετεῖς ἁπάντων αὐτῶν εἶναι τὰς ἁρμονίας . . . τοιαῦτά τινά μοι καὶ ταύτης εἶναι φαίνεται χαρακτηριστικὰ τῆς ἁρμονίας· παραδείγματα δ' αὐτῆς ποιοῦμαι ποιητῶν μὲν Ἡσίοδόν τε καὶ Σαπφὼ καὶ Ἀνακρέοντα, τῶν δὲ πεζῇ λέξει χρησαμένων Ἰσοκράτην τε τὸν Ἀθηναῖον καὶ τοὺς ἐκείνῳ πλησιάσαντας.*

Demetr. *Eloc.* 132 *τὰ μὲν οὖν εἴδη τῶν χαρίτων τοσάδε καὶ τοιάδε. εἰσιν δὲ αἱ μὲν ἐν τοῖς πράγμασι χάριτες οἷον νυμφαῖοι κῆποι, ὑμέναιοι, ἔρωτες, ὅλη ἡ Σαπφοῦς ποίησις. τὰ γὰρ τοιαῦτα*

[1] mss *sustulisset* which some edd. keep, reading *una* for *non*
[2] mss *συνέξ.*

Greek couplet inscribed upon the base, which this cultured Grecian who can really criticise such things, who is the only man who understands such things, would never have dreamt of leaving behind if he had known a single letter of the Greek alphabet. For the inscription on the empty base declares to-day what the statue was, thus proclaiming the theft.[1]

Dionysius of Halicarnassus[2] *Demosthenes*: Next comes the finished or decorative style, the style which makes for elegance rather than grandeur. In the first place it invariably prefers the smoothest and gentlest words, seeking euphony and melodiousness and their resultant charm. Secondly, it does not put its words just as they come or combine them without consideration, but first decides what elements will combine to give the most musical effect, and what arrangement will produce the most taking combinations, paying very great attention to the coherence of the parts and the perfection of the joinery. . . . Such appear to me to be the characteristics of this style. For examples of it I may mention, in poetry, Hesiod, Sappho, and Anacreon, and in prose, Isocrates the Athenian and his school.

Demetrius *on Style*: The forms, then, of literary charm are many and various. But charm may also reside in the subject. For instance, it may be the Gardens of the Nymphs, a wedding, a love-affair, in short the entire subject-matter of the poetry of Sappho. Such themes are charming even if treated

[1] Plin. *N.H.* 35, 34 mentions a picture of S. by Leon, on which (?) cf. *Anth. Plan.* 310; see also Tat. *adv. Gr.* 130

[2] see also *Comp.* 19. 23

κἂν ὑπὸ Ἱππώνακτος λέγηται, χαρίεντά ἐστι καὶ αὐτὸ ἱλαρὸν τὸ πρᾶγμα ἐξ ἑαυτοῦ· οὐδεὶς γὰρ ἂν ὑμέναιον ᾄδοι ὀργιζόμενος, οὐδὲ τὸν Ἔρωτα Ἐρινὺν ποιήσειεν τῇ ἑρμηνείᾳ ἢ Γίγαντα, οὐδὲ τὸ γελᾶν κλαίειν.

Him. *Or.* 1. 4 Οὐκοῦν ὥρα καὶ ἡμῖν, ὦ παῖδες, ἐπεὶ καὶ τὰς ἡμετέρας καλοῦμεν Μούσας πρὸς γαμήλιον χόρον καὶ ἔρωτα, ἀνεῖναι τὴν ἁρμονίαν τὴν σύντονον, ἵν' ἅμα μετὰ παρθένων ἐπ' Ἀφροδίτῃ χορεύσωμεν. ὅτι δὲ μέγας ὁ κίνδυνος οὕτως ἁπαλὸν μέλος εὑρεῖν ὡς τὴν θεὸν ἀρέσαι τῷ μέλει, παρ' αὐτῶν ποιητῶν μανθάνειν ἔξεστιν, <ὧν> οἱ πλείονς οἶμαι δεινοὶ τὰ ἐρωτικὰ γενόμενοι, κατὰ μὲν ἠϊθέους καὶ παρθένους ἐπιτολμώσαντες[1] τὴν Ἥραν ἔδειξαν, τὰ δὲ Ἀφροδίτης ὄργια μόνῃ παρῆκαν τῇ Λεσβίᾳ Σαπφοῖ καὶ ᾄδειν πρὸς λύραν καὶ ποιεῖν τὸν ἐπιθαλάμιον.[2] ἢ καὶ εἰσῆλθε μετὰ τοῦς ἀγῶνας εἰς θάλαμον, πλέκει παστάδα, τὸ λέχος στρώννυσι, ἀγείρει παρθένους <εἰς> νυμφεῖον, ἄγει καὶ Ἀφροδίτην ἐφ' ἅρματι χαρίτων καὶ χόρον Ἐρώτων συμπαίστορα· καὶ τῆς μὲν ὑακίνθῳ τὰς κόμας σφίγξασα, πλὴν ὅσαι μετώπῳ μερίζονται, τὰς λοιπὰς ταῖς αὔραις ἀφῆκεν ὑποκυμαίνειν ᾗ πνεύσαιεν·[3] τῶν δὲ τὰ πτέρα καὶ τοὺς βοστρύχους χρυσῷ κοσμήσασα πρὸ τοῦ δίφρου σπεύδει πομπεύοντας καὶ δᾷδα κινοῦντας μετάρσιον.

Anth. Pal. 9. 189 ἄδηλον εἰς Σαπφὼ τὴν Μυτιληναίαν μελοποιόν·

[1] mss ἠιθέων κ. παρθένων ἐπιτολμῶσαν [2] mss θάλαμον [3] mss εἰ πλήττοιεν

by an Hipponax, the subject being pleasing in its nature. It is as impossible to sing a wedding-song in a rage, or make Love a Fury or a Giant by mere choice of expression, as it is to turn laughter into tears.

Himerius *Orations*: So it is time for us, my children, since we are summoning our Muses to marriage-dance and marriage-love, to relax the graveness of our music, so that we may the better trip it with the maidens in honour of Aphrodite. How hard it is to find a tune gentle enough to please the Goddess, we may judge from the poets themselves, most of whom, though past masters in love-poetry, went as bravely to the description of Hera as any boy or girl, but when it came to the rites of Aphrodite, left the song for the lyre and the making of the epithalamy entirely to Sappho, who when the contests[1] are over enters the chamber, weaves the bower, makes the bride-bed, gathers the maidens into the bride-chamber, and brings Aphrodite in her Grace-drawn car with a bevy of Loves to be her playfellows; and her she adorns with hyacinths about the hair, leaving all but what is parted by the brow to float free upon the wayward breeze, and them she decks with gold on wing and tress and makes to go on before the car and wave their torches on high.[2]

Palatine Anthology: Anonymous on Sappho the lyric poetess of Mytilene: Come, ye daughters of

[1] part of the ceremony apparently consisted of a mock contest of suitors [2] cf. Him. ap. Schenkl *Hermes* 1911. 421, Dion. Hal. *Rhet.* 247

Ἔλθετε πρὸς τέμενος ταυρώπιδος[1] ἀγλαὸν Ἥρης,
Λεσβίδες, ἁβρὰ ποδῶν βήμαθ' ἑλισσόμεναι,
ἔνθα καλὸν στήσεσθε[2] θεῇ χόρον· ὔμμι δ' ἀπάρξει
Σαπφὼ χρυσείην χερσὶν ἔχουσα λύρην.
ὄλβιαι ὀρχηθμοῦ πολυγηθέος· ἦ γλυκὺν ὕμνον
εἰσαΐειν αὐτῆς δόξετε Καλλιόπης.

Jul. *Ep.* 30 Ἀλυπίῳ· ἤδη μὲν ἐτύγχανον ἀνειμένος τῆς νόσου, τὴν γεωγραφίαν ὅτε ἀπέστειλας· οὐ μὴν ἔλαττον διὰ τοῦτο ἡδέως ἐδεξάμην τὸ παρὰ σου πινάκιον ἀποσταλέν. ἔχει γὰρ καὶ τὰ διαγράμματα τῶν πρόσθεν βελτίω, καὶ κατεμουσώσας αὐτὸ προσθεὶς τοὺς ἰάμβους, οὐ μάχην ἀείδοντας τὴν Βουπάλειον κατὰ τὸν Κυρηναῖον ποιητήν, ἀλλ' οἵους ἡ καλὴ Σαπφὼ βούλεται τοῖς νόμοις ἁρμόττειν.

Paus. 1. 25. 1 . . . Ἀνακρέων ὁ Τήϊος, πρῶτος μετὰ Σαπφὼ τὴν Λεσβίαν τὰ πολλὰ ὧν ἔγραψεν ἐρωτικὰ ποιήσας.

Ath. 13. 605 e κἀγὼ δὲ κατὰ τὴν Ἐπικράτους Ἀντιλαΐδα
τἀρωτίκ' ἐκμεμάθηκα πάντα[3] παντελῶς
Σαπφοῦς, Μελήτου, Κλεομένους, Λαμυνθίου.

Ibid. 14. 639 a Κλέαρχος δὲ ἐν δευτέρῳ Ἐρωτικῶν τὰ ἐρωτικά φησιν ᾄσματα καὶ τὰ Λοκρικὰ καλούμενα οὐδὲν τῶν Σαπφοῦς καὶ Ἀνακρέοντος διαφέρειν.

[1] Heck. cf. Nonn. 9. 68 : mss γλανκώπ. [2] mss στήσασθε
[3] mss ταῦτα

Lesbos, trip it delicately in the whirling measure on your way to the shining precinct of the bull-faced Hera, and there take up the fair dance unto the Goddess with Sappho for your leader golden lyre in hand. Happy ye in that delightsome round! ye shall think, for sure, that ye are hearing some sweet hymn of Calliopè herself.[1]

Julian *Letters*: To Alypius:—I was already recovered when I received the Geography, though your missive was none the less welcome for that. Not only are the maps in it better done, but you have given it a touch of literary distinction by prefixing the iambic motto—not such iambics as sing the fight with Bupalus, to adapt Callimachus,[2] but of the sort which the beautiful Sappho chooses to fit to her melodies.

Pausanias *Description of Greece*: . . . Anacreon of Teos, who was the first poet after Sappho to make love his principal theme.

Athenaeus *Doctors at Dinner*: I, too, to quote Epicrates' *Anti-Laïs* 'am letter-perfect in all the love-songs of Sappho, Meletus, Cleomenes, and Lamythius.'

The Same: Clearchus, in the second Book of his *Treatise on Love Poetry*, declares that the love-songs of Gnesippus and his *Locrian Ditties*, as they are called, are quite as good as Sappho's or Anacreon's.

[1] cf. *A.P.* 7. 407 (above) [2] *i. e.* the choliambics prefixed by Callim. to his *Iambics* referring to Hipponax' lampoons (in that metre) on Bupalus and containing the words *φέρων ἴαμβον οὐ μάχην δείδοντα | τὴν Βουπάλειον*, cf. *Ox. Pap.* 1011

Them. *Or.* 13. p. 170 d . . . καὶ τὸ καλὸν δὲ αὐτὸ σὺν τῇ ἀληθείᾳ καλόν ἐστι, ψεῦδος δὲ οὐδὲν καλόν, οὔτε θωπεία οὔτε κολακεία. Σαπφοῖ μὲν γὰρ καὶ Ἀνακρέοντι συγχωροῦμεν ἁμέτρους εἶναι καὶ ὑπερμέτρους ἐν τοῖς ἐπαίνοις τῶν παιδικῶν· σωμάτων γὰρ ἥρων ἰδιωτικῶν ἰδιῶται καὶ οὐδεὶς κίνδυνος ἐπῆν εἰ χαυνωθεῖεν ὑπὸ τοῦ ἐπαίνου αὐτοῖς οἱ ἐρώμενοι. ἐνταῦθα δὲ βασιλικὸς μὲν ὁ ἔρως, βασιλικὸς δὲ ὁ ἐρώμενος . . .

Plut. *Mus.* 16 καὶ ἡ Μιξολύδιος (ἁρμονία) παθητική τίς ἐστι τραγῳδίαις ἁρμόζουσα. Ἀριστόξενος δέ φησι Σαπφὼ πρώτην εὑρασθαι τὴν Μίξολυδιστί, παρ' ἧς τοὺς τραγῳδοποιοὺς μαθεῖν.

Ath. 14. 635 e καὶ τὴν Σαπφὼ δέ φησιν οὗτος (ὁ Μέναιχμος ὁ Σικυώνιος ἐν τοῖς Περὶ Τεχνιτῶν) . . . πρώτην χρήσασθαι τῇ πηκτίδι.

Ibid. 13. 599 c Χαμαιλεών δὲ ἐν τῷ Περὶ Σαπφοῦς . . .

Suid. Δράκων Στρατονικεύς· γραμματικός . . . Περὶ τῶν Σαπφοῦς Μέτρων.

Phot. *Bibl.* ἀνεγνώθησαν ἐκλογαὶ διάφοροι ἐν βιβλίοις ιβ' Σωπάτρου σοφιστοῦ. συνείλεκται δὲ αὐτῷ τὸ βιβλίον ἐκ πολλῶν καὶ διαφόρων ἱστοριῶν καὶ γραμμάτων . . . ὁ δὲ δεύτερος (λόγος) ἔκ τε τῶν Σωτηρίδα Παμφίλης Ἐπιτομῶν πρώτου λόγου . . . καὶ ἐκ τῶν Ἀρτέμωνος τοῦ Μάγνητος τῶν Κατ' Ἀρετὴν Γυναιξὶ Πεπραγματευμένων Διηγημάτων, ἔτι δὲ καὶ ἐκ τῶν

[1] see also Ibid. 20. 36 Ibid. 28 to Terpander [2] Gratian [3] ascribed however [4] a kind of lyre played with the

Themistius *Orations*:[1] . . . And beauty itself is beautiful only when accompanied by truth, whereas no falsehood is beautiful, be it called cajolery or adulation. We may acquiesce in the unbounded—or shall I say excessive—praises given their beloved by Sappho and Anacreon, because both loved and lover were private individuals and there was no danger to be apprehended if their praises should turn the beloved head. But the love of which I speak now is Imperial, and so is the beloved.[2] . . .

Plutarch *On Music*: The Mixolydian 'mode' is particularly sensuous or emotional, suited to tragedy. According to Aristoxenus this mode was invented by Sappho, from whom it was taken by the writers of tragedy.[3]

Athenaeus *Doctors at Dinner*: Menaechmus of Sicyon in his *Treatise on Artists* declares that Sappho was the first to use the *pēctis*.[4]

The Same: Chamaeleon in his treatise *On Sappho*. . . .

Suidas *Lexicon*: Dracon of Stratoniceia:—A grammarian, the writer of books . . . *On the Metres of Sappho*.

Photius *Library*: Excellent selections were read from the twelve Books of Sopater the Sophist. The work is a compilation from many excellent histories and tracts. . . . The second Book includes passages from the first Book of the *Epitomes* of Pamphila daughter of Soteridas . . ., from Artemon the Magnesian's *Tales of Feminine Virtue*, and from the

fingers (Ibid. 635 b, d), confused by Suidas (above) with the πλῆκτρον or quill

Διογένους τοῦ Κυνικοῦ Ἀποφθεγμάτων . . . ἀλλά γε καὶ ἀπὸ ὀγδόου λόγου τῆς Σαπφοῦς.

Heph. 43 *ἐπιχοριαμβικὸν μὲν οὖν τὸ Σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον οἷον* (*fr.* 1) . . . *ἔστι δὲ καὶ παρ' Ἀλκαίῳ—καὶ ἄδηλον ὁποτέρου ἐστὶν εὕρημα, εἰ καὶ Σαπφικὸν καλεῖται.*

Sch. Heph. 293. Cons. [*π. διαφορῶν τοῦ ἡρωϊκοῦ*]· *Σαπφικὸν δέ ἐστι τὸ ἀρχόμενον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον οἷον* (*Il.* 2. 1) . . .

Heph. 60 [*π. ποιήματος*]· *κοινὰ δὲ* (*τὰ ποιήματα*) *ὅσα ὑπὸ συστήματος μὲν καταμετρεῖται, <τοῖς> αὐτο<ῖς>*[1] *δὲ τὸ σύστημα ἔχει πληρούμενον, οἷά ἐστι τὰ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ Σαπφοῦς· ἐν οἷς καταμετρεῖται μὲν ὑπὸ διστιχίας αὐτὴ δὲ ἡ διστιχία ὁμοία ἐστί.*[2]

ΣΑΠΦΟΥΣ ΜΕΛΩΝ

1a

Mus. Ital. Ant. Class. vi:

Ἀερίων ἐπέων ἄρχομαι ἀλλ' ὐνάτων.[3]

[1] *E* [2] see also Dion. Hal. *Comp.* 19, Dion Chr. *Or.* 2. 24
[3] *E*: vase *ηεριων κ.τ.λ.* see *C.Q.* 1922

[1] this seems to indicate the existence of an edition of S.'s works arranged not according to metre but according to

Obiter Dicta of Diogenes the Cynic . . ., and lastly from the eighth Book of Sappho.[1]

Hephaestion *Handbook of Metre*: First the epichoriambic, called the Sapphic eleven-syllable, as (fr. 1) . . . It occurs also in Alcaeus—and it is uncertain which of the two poets invented it, though it is called after Sappho.

Scholiast on the Same [on varieties of the heroic hexameter]: The Sapphic variety is the line which both begins and ends with a spondee, thus (*Iliad* 2. 1) . . .

Hephaestion *Handbook* [on poems]: Poems are called 'common' when they are formed of 'systems' or stanzas and have those systems all composed of lines in the same metre, as for instance the poems in the Second and Third Books of Sappho, in which the stanzas are of two lines and those lines similar.[2]

THE POEMS OF SAPPHO

1 a

Column i. of a book entitled Ἔπεα πτερόεντα or *Winged Words* held by Sappho in an Attic vase-picture c. 430 B.C. :[3]

The words I begin are words of air, but, for all that, good to hear.

subject [2] see also for S.'s metres Heph. etc. Consbruch *passim*, Atil. Fort., Terent., Mar. Vict., Plot. [3] this introductory poem apparently stood first in S.'s own collection of her poems; cf. Jul. *Ep.* 30 quoted p. 176

A

1 εἰς Ἀφροδίτην

Dion. H. *Comp.* 23 ἡ δὲ γλαφυρὰ καὶ ἀνθηρὰ σύνθεσις . . . χαρακτῆρα τοιόνδε ἔχει· . . . ἀκόλουθον δ' ἂν εἴη καὶ τοὺς ἐν αὐτῇ πρωτεύσαντας καταριθμήσασθαι. ἐποποιῶν μὲν οὖν ἔμοιγε κάλλιστα τουτονὶ δοκεῖ τὸν χαρακτῆρα ἐξεργάσασθαι Ἡσίοδος, μελοποιῶν δὲ Σαπφώ, καὶ μετ' αὐτὴν Ἀνακρέων τε καὶ Σιμωνίδης· τραγῳδοποιῶν δὲ μόνος Εὐριπίδης· συγγραφέων δὲ ἀκριβῶς μὲν οὐδείς, μᾶλλον δὲ τῶν πολλῶν Ἔφορός τε καὶ Θεόπομπος, ῥητόρων τε Ἰσοκράτης. θήσω δὲ καὶ ταύτης παραδείγματα τῆς ἁρμονίας, ποιητῶν μὲν προχειρισάμενος Σαπφώ, ῥητόρων δὲ Ἰσοκράτην. ἄρξομαι δὲ ἀπὸ τῆς μελοποιοῦ·

Ποικιλόθρον' ἀθάνατ' Ἀφρόδιτα,
παῖ Δίος δολόπλοκα, λίσσομαί σε·[1]
μή μ' ἄσαισι μηδ' ὀνίαισι δάμνα,
πότνια, θῦμον,

ἀλλὰ τυίδ' ἔλθ', αἴ ποτα κἀτέροττα
τᾶς ἔμας αὔδως ἀΐοισα πήλυι
ἔκλυες, πάτρος δὲ δόμον λίποισα
χρύσιον ἦλθες

ἄρμ' ὑπασδεύξαισα, κάλω[2] δέ σ' ἆγον
ὤκεε στρούθω προτὶ γᾶν μέλαιναν[3]
πύκνα δίννεντε πτέρ' ἀπ' ὄρράνω ‿ αἴθε-
ρος διὰ μέσσω,

[1] mss also ποικίλοφρον (less likely in view of δολόπλοκα): δολοπλόκα Choer. on Heph. 85 (251 Consb.) cf. 134: mss here δολοπλόκε [2] (9–11) dual Piccolomini -*E Proc. Camb. Philol. Soc.* 1920 [3] προτὶ γᾶν μέλαιναν *E* l.c.: mss περὶ γᾶς (Ald. πτέριγας) (τὰς) μελαίνας: apogr. Viet. π. γᾶν μέλαιναν

SAPPHO

Book I

1 To Aphrodite

Dionysius of Halicarnassus *Literary Composition*:[1] The finished and brilliant style of composition . . . . has the following characteristics: . . . . It would not be out of place for me to enumerate here the finest exponents of it. Among epic writers I should give the first place in this style to Hesiod, among lyrists to Sappho, with Anacreon and Simonides next to her; among tragic poets there is only one example, Euripides. Among historians, to be exact, there is none, but Ephorus and Theopompus show it more than most; among the orators I should choose Isocrates. I will now give illustrations of this style, taking Sappho to represent the poets and Isocrates the orators; and I will begin with the lyrist:

Aphrodite splendour-throned[2] immortal, wile-weaving child of Zeus, to thee is my prayer. Whelm not my heart, O Queen, with suffering and sorrow, but come hither I pray thee, if ever ere this thou hast heard and marked my voice afar, and stepping from thy Father's house harnessed a golden chariot, and the strong pinions of thy two swans[3] fair and swift, whirring from heaven through mid-sky, have

[1] cf. Heph. 83 with sch., Prisc. 1. 37, Hdn. 2. 948 Lentz, *E. M.* 485. 41, Ath. 9. 391 e, Hesych. *ὠκέες στροῦθοι*: used by Heph. to illustrate the metre, and hence to be regarded as the 1st ode of S.'s 1st Book in the (?) Alexandrian edition, which was entirely composed of poems in this metre

[2] prob. = 'sitting on a throne of inlaid wood or metal'

[3] cf. 172, Alc. 2.: not sparrows, see *Proc.* (opp.), Stat. *S.* 1. 2.

αἶψα δ' ἐξίκοντο· σὺ δ', ὦ μάκαιρ
μειδιάσαισ' ἀθανάτῳ προσώπῳ
ἤρε' ὄττι δηῦτε πέπονθα, κὤττι
δηῦτε κάλημι,

κὤττ' ἔμῳ μάλιστα θέλω γένεσθαι
μαινόλᾳ θύμῳ· 'τίνα δηῦτε πείθω
καὶ σ' ἄγην ἐς Fὰν φιλότατα; τίς τ', ὦ
Ψάπφ', ἀδικήει;[1]

καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει,
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει,
αἰ δὲ μὴ φίλει, ταχέως φιλήσει
κωὐκ ἐθέλοισα·'

ἔλθε μοι καὶ νῦν, χαλέπαν δὲ λῦσον
ἐκ μερίμναν, ὅσσα δέ μοι τέλεσσαι
θῦμος ἰμμέρρει, τέλεσον, σὺ δ' αὔτα
σύμμαχος ἔσσο.

ταύτης τῆς λέξεως ἡ εὐέπεια καὶ ἡ χάρις ἐν τῇ συνεχείᾳ καὶ λειότητι γέγονε τῶν ἁρμονιῶν. παρακεῖται γὰρ ἀλλήλοις τὰ ὀνόματα καὶ συνύφανται κατά τινας οἰκειότητας καὶ συζυγίας φυσικὰς τῶν γραμμάτων . . .

2

[Longin.] *Subl.* 10 οὐκοῦν ἐπειδὴ πᾶσι τοῖς πράγμασι φύσει συνεδρεύει τινὰ μόρια ταῖς ὕλαις συνυπάρχοντα, ἐξ ἀνάγκης γένοιτ' ἂν ἡμῖν ὕψους αἴτιον τὸ τῶν ἐμφερομένων ἐκλέγειν ἀεὶ τὰ καιριώτατα, καὶ ταῦτα τῇ πρὸς ἄλληλα ἐπισυνθέσει καθάπερ ἕν τι σῶμα ποιεῖν δύνασθαι· τὸ μὲν γὰρ τῇ ἐκλογῇ τὸν ἀκροατὴν τῶν λημμάτων, τὸ δὲ τῇ πυκνώσει τῶν ἐκλελεγμένων προσάγεται. οἷον ἡ Σαπφὼ τὰ συμβαίνοντα ταῖς ἐρωτικαῖς μανίαις παθήματα ἐκ τῶν παρεπομένων καὶ ἐκ τῆς ἀληθείας αὐτῆς ἑκάστοτε λαμβάνει. ποῦ δὲ τὴν ἀρετὴν ἀποδείκνυται; ὅτε τὰ ἄκρα αὐτῶν καὶ ὑπερτεταμένα δεινὴ <γίγνεται> καὶ ἐκλέξαι καὶ εἰς ἄλληλα συνδῆσαι·

[1] *E* (Ibid.): mss και, *και* (not *καί*), or *μαι* (from above) corrected to *και*, then *σαγήνεσαν*, *σαγηνεύσαν*, *σαγήν εσσαν*, or *σαγήνεσσαν κ.τ.λ.*: σ' emph. τ' *E*: mss (cf. above) σ or omit

drawn thee towards the dark earth, and lo! were there; and thou, blest Lady, with a smile on that immortal face, didst gently ask what ailed me, and why I called, and what this wild heart would have done, and 'Whom shall I make to give thee room in her heart's love, who is it, Sappho, that does thee wrong? for even if she flees thee, she shall soon pursue; if she will not take thy gifts, she yet shall give; and if she loves not, soon love she shall, whether or no;'—

O come to me now as thou camest then, to assuage my sore trouble and do what my heart would fain have done, thyself my stay in battle.

The verbal beauty and the charm of this passage lie in the cohesion and smoothness of the joinery. Word follows word inwoven according to certain natural affinities and groupings of the letters . . .

2

[Longinus] *The Sublime*: Since everything is naturally accompanied by certain affixes or accidents coexistent with its substance, it follows that we should find the source of sublimity in the invariable choice of the most suitable ideas, and the power to make these a single whole by combining them together. The first attracts the listener by the choice of subject-matter, the second by the cohesion of the ideas we choose. Sappho, for instance, always expresses the emotions proper to love-madness by means of its actual and visible concomitants. If you ask where she displays her excellence, I reply that it is where she shows her skill, first in choosing, and then in combining, the best and the most marked of those concomitants. Compare this:

Φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν ὤνηρ ὄττις ἐνάντιός τοι
ἰζάνει καὶ πλάσιον ἆδυ φωνεί-
σας ὑπακούει

καὶ γελαίσας ἰμμέροεν, τὸ δὴ 'μαν[1]
κάρζαν ἐν στήθεσσιν ἐπεπτόασεν·[2]
ὡς γὰρ ἔς τ' ἴδω, Βρόχε', ὤς με φώνας
οὐδεν ἔτ' ἴκει,[3]

ἀλλὰ κὰμ μὲν γλῶσσα Fέαγε, λέπτον[4]
δ' αὔτικα χρῷ πῦρ ὐπαδεδρόμακεν,[5]
ὀππάτεσσι δ' οὐδεν ὄρημ', ἐπιρρόμ-
βεισι δ' ἄκουαι,

ἀ δέ μ' ἴδρως κακχέεται,[6] τρόμος δὲ
παῖσαν ἄγρη, χλωροτέρα δὲ ποίας
ἔμμι, τεθνάκην δ' ὀλίγω 'πιδεύFην[7]
φαίνομαι·—ἀλλὰ

πάντ<α νῦν τ>ολμίτε', ἐπεὶ πένησα.[8]

. . . . . .

οὐ θαυμάζεις, ὡς ὑπὸ τὸ αὐτὸ τὴν ψυχήν, τὸ σῶμα, τὰς ἀκοάς, τὴν γλῶσσαν, τὰς ὄψεις, τὴν χρόαν, πάνθ' ὡς ἀλλότρια διοιχόμενα ἐπιζητεῖ, καὶ καθ' ὑπεναντιώσεις ἅμα ψύχεται καίεται, ἀλογιστεῖ φρονεῖ, ἢ γὰρ φοβεῖται μὴ[9] *παρ' ὀλίγον τεθνήκεν, ἵνα μὴ ἔν τι περὶ αὐτὴν πάθος φαίνηται, παθῶν δὲ σύνοδος; πάντα μὲν τοιαῦτα γίνεται περὶ τοὺς ἐρῶντας. ἡ λῆψις δ', ὡς ἔφην, τῶν ἄκρων καὶ ἡ εἰς ταὐτὸ συναίρεσις ἀπειργάσατο τὴν ἐξοχήν.*

[1] Ahr: mss *μὴ μὰν* [2] Robortelli *-E* (*Camb. Philol. Soc. Proc.* 1920), cf. *E.M.* 407. 22: mss *καρδίαν ἐν στήθεσσιν* (*-εσιν*) *ἐπτόασεν* (corr. in one to *ἐποπτόασεν*) [3] *E* (Ibid.): mss *ὡς γ. σῖδω βρόχεως* (*βροχέως*) *κ.τ.λ.* [4] or *γλῶσσ' ἐάγη ὀν δὲ λέπτον* Ald. with Plut. [5] *a* perh. for *αι* = *η* cf. *αἰμίονος*

SAPPHO

It is to be a God, methinks, to sit before you and listen close by to the sweet accents and winning laughter which have made the heart in my breast beat so fast and high. When I look on you, Brocheo,[1] my speech comes short or fails me quite, I am tongue-tied[2]; in a moment a delicate fire has overrun my flesh, my eyes grow dim and my ears sing, the sweat runs down me and a trembling takes me altogether, till I am as green and pale as the grass,[3] and death itself seems not very far away;[4]— but now that I am poor, I must fain be content[5] . . . .

Is it not marvellous how she has recourse at once to spirit, body, hearing, tongue, sight, flesh, all as quite separate things, and by contraries both freezes and burns, raves and is sane, and indeed is afraid she is nearly dead, so that she expresses not one emotion but a concourse of emotions? Now all such things are characteristic of the lover, but it is the choice, as I said, of the best and the combination of them into a single whole, that has produced the excellence of the piece.[6]

[1] (*or* Brochea) dimin. of a compd. of *βραχύς*, cf. Catull. and see *Camb. Philol. Soc. Proc.* 1920 [2] the Greek is 'my tongue is broken up' [3] cf. *Macbeth* 1. 7 [4] the Greek words for swooning are mostly metaphors from dying [5] metaphorical ('beggars can't be choosers') and explained by the lost sequel; = 'if I cannot see you face to face I must fain be content with distant reverence' [6] cf. Plut. *Pr. in Virt.* 10, Cram. *A.P.* 1. 39, Plut. *Erot.* 18, *Demetr.* 38, Cram. *A.O.* 1. 208. 15, Sch. *Il.* 22. 2, Catull. 51

Wil. [6] Long. (cf. *ψύχεται* below) apparently read *κἀδ δ' ἴδρως ψῦχρος χέεται*: his mss *ἐκ δὲ* (*ἑκαδε*) *μ' ἴδ. ὑ. κακχέεται*: but *μοι* is necessary and the above is quoted Cram. *A.O.* 1. 208 to show *ἰδ.* is fem. [7] *E* (Ibid.): mss *πιδευσην*, *πιδευην*, or *πιδευκην* [8] *E* (Ibid.): mss *ἀ. παντόλματον ἐ.* (*ἐ. καὶ*) *πένητα* [9] Heller -*E*: mss *ἢ γὰρ φοβεῖται ἢ*

3

Eust. 729. 20 (*Il.* 8. 555) *ἱστέον δὲ ὅτι ἐν τῷ 'φαεινὴν ἀμφὶ σελήνην' οὐ τὴν πλησιφαῆ νοητέον καὶ πληροσελήνην· ἐν αὐτῇ γὰρ ἀμαυρά εἰσι τὰ ἄστρα ὡς ὑπερανγαζόμενα, καθὰ καὶ ἡ Σαπφώ που φησίν·*

> *Ἄστερες μὲν ἀμφὶ κάλαν σελάνναν*
> *ἂψ ἀπυκρύπτοισι φάεννον εἶδος,*
> *ὄπποτα πλήθοισα μάλιστα λάμπης'*
> *ἀργυρία γᾶν.*[1]

4

Hermog. π. ἰδεῶν (*Rhet. Gr.* Walz 3. 315) [π. γλυκύτητος]· *καὶ τὰς μὲν οὐκ αἰσχρὰς (τῶν ἡδονῶν) ἔστιν ἁπλῶς ἐκφράζειν, οἷον κάλλος χωρίου καὶ φυτείας διαφόραν καὶ ῥευμάτων ποικιλίαν καὶ ὅσα τοιαῦτα. ταῦτα γὰρ καὶ τῇ ὄψει προσβάλλει ἡδονὴν ὁρώμενα καὶ τῇ ἀκοῇ ὅτε ἐξαγγέλλει τις. ὥσπερ ἡ Σαπφώ·*

> *. . . . . ἀμφὶ δ' ὕδωρ*
> *ψῦχρον <ὤνεμος>*[2] *κελάδει δι' ὔσδων*
> *μαλίνων, αἰθυσσομένων δὲ φύλλων*
> *κῶμα κατάρρει·*[3]

καὶ ὅσα πρὸ τούτων γε καὶ μετὰ ταῦτα εἴρηται.

5[4] εἰς Ἀφροδίτην

Str. 1. 40 *εἰ δὲ Φοίνικας εἰκὸς ὀνομάζει (Ὅμηρος) καὶ Σιδωνίους τὴν μητρόπολιν αὐτῶν, σχήματι συνήθει χρῆται ὡς . . . 'Ἴδην δ' ἵκανεν καὶ Γάργαρον' καὶ Σαπφώ·*

> *Αἴ σε Κύπρος καὶ Πάφος ἢ Πάνορμος . . .*[5]

[1] λάμπης' ἀ. γ. (or ἄργυρα γαῖαν?) Blf. -*E*, cf. Jul. *Ep.* 19 Σ. ἡ καλὴ τὴν σελήνην ἀργυρέαν φησὶ καὶ διὰ τοῦτο τῶν ἄλλων ἀστέρων ἀποκρύπτειν τὴν ὄψιν: mss λάμπῃ γᾶν [2] *E* (wrongly read as ὢν ἐμὸς and then cut out) [3] mss καὶ αἰθ. κ.τ.λ. [4] cf. Men. *Rh. Gr.* Walz 9. 135 (π. τῶν κλητικῶν) ἅμα μὲν γὰρ ἐκ πολλῶν τόπων τοὺς θεοὺς ἐπικαλεῖν ἔξεστιν, ὡς παρὰ τῇ Σ. . . . πολλαχοῦ εὑρίσκομεν [5] αἴ *E*: mss ἥ καὶ *E*: mss ἢ

31[1]

Eustathius on the *Iliad*: Note that in the words 'around the bright moon' we are not to understand the moon at her full; for then the stars are dim because they are outshone, as Sappho somewhere says:

Around the fair moon the bright beauty of the stars is lost them when her silver light illumes the world at its fullest.

42[2]

Hermogenes *Kinds of Style* [on sweetness or charm]: All clean and honest pleasures may be described simply, as for instance the beauty of a place, the variety of trees and plants, the sweet diversity of rivers and brooks. Such things give pleasure to the eye when they are seen, and to the ear when they are told of. Compare Sappho:

. . . And by the cool waterside the breeze rustles amid the apple-branches, and the quivering leaves shed lethargy;

and all that precedes and follows this.

5 To Aphrodite

Strabo *Geography*: Now if in speaking of the Phoenicians Homer [*Od.* 4. 83] adds mention of the inhabitants of their mother city Sidon, he is using a common form of speech, as for instance, . . . and 'he came to Ida and Gargarus' (*Il.* 8. 48) and Sappho's line:

Whether thou [art at] Cyprus and Paphos or at Panormus . . .[3]

[1] cf. Cram. *A.P.* 3. 233, 31 [2] cf. *Sch.* Hermog. *Rh. Gr.* 7. 883 Walz (see *fr.* 150) [3] doubtless from an invocation to Cypris, perh. 1st line of 6

6 εἰς Ἀφροδίτην

Ath. 11. 463c *διόπερ σινιοῦσι καὶ ἡμῖν ἐπὶ τὰς Διονυσικὰς ταύτας λαλιὰς 'οὐδὲ εἷς ἂν εὐλόγως φθονήσαι νοῦν ἔχων' κατὰ τοὺς Ἀλέξιδος Ταραντίνους· 'οἱ τῶν πέλας | οὐδέν' ἀδικοῦμεν οὐδέν . . . ὃς δ' ἂν πλεῖστα γελάσῃ καὶ πίῃ | καὶ τῆς Ἀφροδίτης ἀντιλάβηται τὸν χρόνον | τοῦτον ὃν ἀφεῖται, κἂν τύχῃ γ', ἐράνου τινος, | πανηγυρίσας ἥδιστ' ἀπῆλθεν οἰκαδε.' καὶ κατὰ τὴν καλὴν οὖν Σαπφώ·*

. . . . . ἔλθε, Κύπρι,
χρυσίαισιν ἐν κυλίκεσσιν ἄβραις[1]
συμμεμειγμενον θαλίαισι νέκταρ
οἰνοχόεισα
τοῖς ἑταίροις τοίσδεσ' ἔμοις τε καὶ σοῖς·[2] . . .

7 [εἰς Ἀφροδίτην] and 8

Apoll. *Pron.* 81. 23 *σοί· Ἀττικῶς. Ἴωνες, Αἰολεῖς ὁμοίως·*

σοὶ δ' ἔγω λεύκας ἐπὶ δᾶμον αἶγος
<πίονα καύσω>,[3]

Σαπφώ· καὶ τὸ κατὰ πολὺ τὸ[4] *διὰ τοῦ τ·*

κἀπιλείψω τοι . . .

9 εἰς Ἀφροδίτην

Id. *Synt.* 350 (247) *εἰσὶ τῆς εὐχῆς ἐπιρρηματα παραστατικά·*

Αἴθ' ἔγω, χρυσοστέφαν' Ἀφρόδιτα,
τόνδε τὸν πάλον λαχόην[5] . . .

[1] Blf.: mss *ἄβροις* from l. 5 [2] *τοίσδεσ(ι) E*, cf. Alc. 126, *Ol.* 10. 268, 21. 93, *Ad.* 51: mss *τούτοισι τοῖς ἑταίροις ἔμοις τε καὶ σοῖς* (masc. an adaptation? or see opp.) [3] Ahr: mss *ἐπιδωμον αἰγ.* [4] *E*: mss *κατὰ ἀπόλυτον* [5] *B*: mss *-οίην*

[1] either the gender of the 'comrades' is changed to suit the

6 To Aphrodite

Athenaeus *Doctors at Dinner*: This being so, our own gathering together like this for talk over the wine-cup, 'no man of sense could reasonably grudge us,' as Alexis says in *The Tarentines*; 'for we never do our neighbours injury . . .; and whoever laughs, drinks, loves, and, if he is lucky, dines out, the most during his time of liberty [from death and darkness], he goes home [to death] the best satisfied with his days at the festival.' And so let me say in the words of the beautiful Sappho:

. . . Come, Queen of Love, to bear round golden cups of nectar mingled with gentle cheer unto these comrades of thine and mine.[1]

7 [To Aphrodite] and 8

Apollonius *Pronouns*: Σοί 'to thee' Attic. Ionic and Aeolic have alike this form—compare Sappho:

and to thee I [will burn the rich] fat of a white goat,—[2]

and the form usual to them with τ, as

and I will leave behind for thee . . .

9[3] To Aphrodite

Id. *Syntax*: There are hortatory adverbs of supplication; compare:

O golden-wreathed Aphrodite, would that such a lot as this were mine . . .!

quoter's company (he proceeds 'for whose [masculine] benefit I must now remark'), or this was once the introductory poem to Sappho's *Epithalamia*, the masculine including the feminine: the nectar is of course metaphorical [2] white goats were sacrificed to Aphrodite Pandemos, cf. Luc. *D. Mer.* 7 [3] cf. Hdn. π. παθ. 2. 280. 31 Lentz, *E.M.* 558. 28

10

Apoll. *Pron.* 113. 8 Αἰολεῖς ἀμμέτερον καὶ ἄμμον καὶ ὔμμον καὶ σφόν. Σαπφώ·

αἴ με τιμίαν ἐπόησαν ἔργα
τὰ σφὰ δοῖσαι . . .

11

Aristid. 2. 508 π. Παραφθέγματος· *οἶμαι δέ σε καὶ Σαπφοῦς ἀκηκοέναι πρός τινας τῶν εὐδαιμόνων δοκούσῶν εἶναι γυναικῶν μεγαλαυχουμένης καὶ λεγούσης ὡς αὐτὴν αἱ Μοῦσαι τῷ ὄντι ὀλβίαν τε καὶ ζηλωτὴν ἐποίησαν, καὶ ὡς οὐδ' ἀπο θανούσης ἔσται λήθη.*

c. g. *ἀλλ' ἔμ' ὀλβίαν ἀδόλως ἔθηκαν*
χρύσιαι Μοῖσαι οὐδ' ἔμεθεν θανοίσας
ἔσσεται λάθα. . . . . .

12

Ath. 13. 571 d καλοῦσι γοῦν καὶ αἱ ἐλεύθεραι γυναῖκες ἔτι καὶ νῦν καὶ αἱ παρθένοι τὰς συνήθεις καὶ φίλας ἑταίρας, ὡς ἡ Σαπφώ·

. . . τάδε νῦν ἑταίραις
ταῖς ἔμαισι τέρπνα κάλως ἀείσω.[1]

13

Et. Mag. 449. 36 ὥσπερ δαμῶ δαμείω, οὕτω θῶ θέω· καὶ παρὰ Σαπφοῖ·

. . . ὄττινας γὰρ
εὖ θέω, κῆνοι με μάλιστα σίννον-
ται . . .

[1] ἔμοισι Seid : mss ἔμαις

10

Apollonius *Pronouns*: Aeolic has the forms ἀμμέτερος and ἄμμος 'our,' ὔμμος 'your,' and σφός 'their'; compare Sappho:

. . . [the Muses?] who have made me honoured [with] the gift of their work

11

Aristides *On the Extemporised Addition*: I think you must have heard how Sappho, too, once boasted to certain women reputed prosperous, that the Muses had given herself the true happiness and good fortune, and even when she was dead she would not be forgotten.

e. g. But I have received true prosperity from the golden Muses, and when I die I shall not be forgot.

12[1]

Ath. *Doctors at Dinner*: For free women to this day and girls will call a friend or acquaintance 'hetaira' or 'comrade,' as Sappho does:

These songs I will sing right well to-day for the delight of my comrades.

13[2]

Etymologicum Magnum: As instead of δαμῶ 'subdue' we find δαμείω, so for θῶ 'do' we find θέω; compare Sappho:

For those I have done good to, do me the greatest wrong.

[1] prob. from a poem introductory to a 'Book' of poems to her friends [2] cf. Choer. 259; wrongly identified by Wil. with *Ox. Pap.* 1231. 16 (sec 15 below)

14

Apoll. *Pron.* 98. 2 ὔμμιν Αἰολεῖς·

ταῖς κάλαισ' ὔμμιν <τὸ> νόημα τὤμον
οὐ διάμειπτον.[1]

15[2]

Oxyrh. Pap. 1231. 16. 11–12

. . . . . .
. . . . . .]λαν· ἔγων δ' ἔμ' αὔτᾳ
τοῦτο σύνοιδα·
. . . . .

16

Sch. Pind. *P.* 1. 10 [Διὸς αἰετός]· πάνυ γὰρ διετύπωσεν, ὅτι δὴ ὁ ἀετὸς ἐπικαθήμενος τῷ τοῦ Διὸς σκήπτρῳ καὶ κατακηλούμενος ταῖς μουσικαῖς ᾠδαῖς εἰς ὕπνον κατάγεται, ἀμφοτέρας χαλάσας τὰς πτέρυγας . . . ἡ δὲ Σαπφὼ ἐπὶ τοῦ ἐναντίου ἐπὶ τῶν περιστερῶν·

ταῖσι <δὲ> ψαῦκρος μὲν ἔγεντο θῦμος,
πὰρ δ' ἴεισι τὰ πτέρα . . .[3]

17

Vet. Et. Mag. Miller p. 213 μελεδῶναι· αἱ τὰ μέλη ἔδουσαι φροντίδες . . . καὶ αἱ Αἰολεῖς σταλαγμὸν τὴν ὀδύνην λέγουσιν· Σαπφώ·

. . . . . κατ' ἔμον στέλεγμον·[4]

ἀποστάζουσι γὰρ καὶ μέουσιν.

[1] τὸ Bek. [2] so Apoll. *Pron.* 51. 1, but 80. 10 ἔμ' αὔτᾳ τοῦτ' ἔγων συνόιδα: Pap. εγωδεμ' [. . . | . . . . . .]νοιδα [3] ψαῦκρος Fick from Hesych: mss ψυχρὸς [4] σταλαγμόν and στελεγμόν mss; the first, the form the word would take in Attic, is necessary to the etymology; in the quotation perh.

14

Apollonius *Pronouns*: The form ὔμμιν 'to you' is used in Aeolic; compare:

Towards you pretty ones this mind of mine can never change.

15[1]

From a Second-Century Papyrus:

. . . and as for me, I am conscious of this: . . .

16

Scholiast on Pindar: He has given a complete picture of the eagle sitting on Zeus's sceptre and lulled to sleep by the music, letting both his wings lie slack. . . . Sappho on the contrary says of the doves:

And as for them their heart grows light and they slacken the labour of their pinions.[2]

17[3]

Old Etymologicum Magnum: μελεδῶναι 'cares': the thoughts which devour the limbs . . . and the Aeolic writers call pain σταλαγμός 'a dripping'; compare Sappho:

. . . because of my pain;

for they [pains or wounds?] drip and flow.

[1] cf. Apoll. *Pron.* 51. 1, 80. 10 [2] when they reach the nest? [3] cf. *E.M.* 576. 22

στέλυγμον *E*, cf. ἀναστηλύζω and Hesych. ἀστυλάζει (sic) and ἀσταλυχεῖν

18

Et. Mag. 335. 38 *τὰ γὰρ δύο σσ εἰς ζ τρέπουσιν οἱ Αἰολεῖς· τὸ γὰρ ἐπιπλήσσω ἐπιπλάζω·* Σαπφώ·

τὸν δ' ἐπιπλάζοντ' ἄνοαι φέροιεν
καὶ μελέδωναι.[1]

19

Amm. π. διαφ. λέξ. 23 *ἄρτι καὶ ἀρτίως διαφέρει. ἄρτι μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα, τὸ δ' ἀρτίως ἐπὶ τοῦ ἀπηρτισμένου ἔργου τελείως. ὥστε ἁμαρτάνει Σαπφὼ λέγουσα·*

'Αρτίως μ' ἀ χρυσοπέδιλλος αὔως
<ἦλθε καὶ>[2] . . .

ἀντὶ <τοῦ> χρονικοῦ ἐπιρρήματος.

20

Sch. Ar. *Pac.* 1174 *διαφέρουσι γὰρ αἱ Λυδικαὶ βαφαί· . . . καὶ* Σαπφώ·

. . . . . πόδας δὲ
ποίκιλος μάσλης ἐπέτεννε, Λύδι-
